[40] Hierápolis (al norte de la actual Siria) se encontraba a unos 30 Km. al oeste del Éufrates, por lo que no pudo ser elegida lugar de conjunción de la flota. El territorio de Osdroena u Osroena se hallaba al este del Éufrates; a dicho territorio pertenecían Batnas de Osdroena y Edesa (ambas en territorio de la actual Turquía, cerca de la frontera con Siria). Edesa (actual Urfa) contaba con abundante poblacion cristiana; dado además que para visitarla Juliano habría debido efectuar un rodeo, cabe pensar que la noticia de tal visita, presente sólo en Zósimo, es errónea: cf. F. PASCHOUD , ed. cit., III, n. 32. La expresión «satrapías de Adiabena» designa el territorio persa situado al este del Tigris. Circesio (en Amiano, *Cercusium)* se hallaba en el territorio de la actual Siria, y el Abora es el actual Khapur, afluente del Éufrates que en tiempo de Juliano constituía parte de la frontera entre Roma y Persia. Asiria hace referencia al territorio mesopotámico situado al sudeste del Abora. La deliberación sobre el camino que había de seguirse, de la que habla sólo Zósimo, no debió tener lugar, pues toda la estrategia de la expedición persa estaba basada en dos premisas: la de conjuntar las tropas de tierra con los efectivos que descendían en barco por el Éufrates y la de sorprender a Sapor tomando la ruta menos esperable, que era aquella que discurría en paralelo al Éufrates; el camino que atravesaba el Tigris desembocando en «las satrapías de Adiabena» estaba, pues, descartado de antemano, explicándose quizás la noticia acerca de la deliberación como un eco del proyecto de sorprender al rey persa (cf. AMIANO , XXIII 2, 7 y J. FONTAINE , *Ammien* ..., cit., n. 45). [41] Las fuentes paralelas se contradicen respecto al número de los efectivos confiados a Sebastián y Procopio: frente a Zósimo, LIBANIO , *Or. XVIII* 214, habla de 20.000 hombres, AMIANO , XXIII 3, 5 de 30.000, MALALAS , pág. 329 [Bonn], de 6.000. Sobre las razones que motivaron la divisón del ejército en Carras véase J. M. CANDAU , *La historia* ... cit. [42] Indicación falsa; como afirma el mismo ZÓSIMO 12, 3, la frontera romano-persa comenzaba en Circesio. [43] El silencio de las fuentes paralelas (que hablan sólo de un abundante ejército) no permite verificar la exactitud de la cifra de 65.000 hombres dada por Zósimo, resultando asimismo imposible de precisar si tal cifra se refiere al conjunto del cuerpo expedicionario antes de la división del ejército en Carras o a lo que quedó después de ésta (cf. F. PASCHOUD , ed. cit., III, n. 34). [44] Calínico o Niceforio estaba a unos 90 Km. al sur de Carras.

Κιρκήσιον περὶ οὗ πρότερον εἴρηται, διαβὰς τὸν Ἀβώραν ποταμὸν ἔπλει διὰ τοῦ Εὐφράτου, νεὼς ἐπιβάς. 2 Ἠκολούθουν δὲ καὶ οἱ στρατιῶται, τὰς σιτήσεις δὴ κεκομισμένοι, καὶ ἀνέβαινον εἰς τὰ πλοῖα, ὅσοις ἐπετέτακτο τοῦτο· ἤδη γὰρ ὁ στόλος ἀπαντήσας ἐτετυχήκει, φέρων ἀριθμὸν πλοίων ἐκ μὲν ξύλων πεποιημένων ἑξακοσίων, ἀπὸ δερμάτων δὲ πεντακοσίων· ἦσαν δὲ πρὸς τούτοις καὶ στρατιωτικαὶ νῆες πεντήκοντα, καὶ ἕτεραι πλατεῖαι συνηκολούθουν, δι' ὧν, εἴ που δεήσειεν, ἔδει γίνεσθαι ζεύγματα πεζῇ διδόντα τῷ στρατοπέδῳ τοὺς ποταμοὺς διαβαίνειν. 3 Ἠκολούθει δὲ καὶ ἄλλα πάμπολλα πλοῖα, τὰ μὲν τροφὰς φέροντα τῷ στρατῷ, τὰ δὲ ξύλα πρὸς μηχανὰς ἐπιτήδεια, τὰ δὲ καὶ τὰ ἤδη κατεσκευασμένα πολιορκητικὰ μηχανήματα· κατέστησαν δὲ ναύαρχοι Λουκιανὸς καὶ Κωνστάντιος· οὔσης δὲ τοιαύτης ⟨τῆς⟩ τοῦ στρατοῦ τάξεως, ἀπό τινος βήματος ὁ βασιλεὺς πᾶσιν ὁμοῦ τὰ καθήκοντα προσφωνήσας, ἀργυρῶν τε νομισμάτων τριάκοντα καὶ ἑκατὸν τῶν στρατιωτῶν ἕκαστον δόσει τιμήσας, τὴν ἐπὶ Πέρσας εἰσβολὴν ἐποιήσατο, τοῦ μὲν πεζοῦ Βίκτορα στρατηγὸν καταστησάμενος, Ὁρμίσδην δὲ τῆς ἵππου, καὶ Ἀρινθαῖον σὺν τούτῳ. 4 Περὶ δὲ Ὁρμίσδου καὶ πρότερον εἴρηται, ὅτι Πέρσης τε ἦν καὶ βασιλέως υἱός, ὑπὸ δὲ ἀδελφοῦ ἀδικηθεὶς καὶ φυγὼν πρὸς Κωνσταντῖνόν τε ἦλθε τὸν βασιλέα καὶ εὐνοίας δο|κίμια παρασχόμενος τιμῶν καὶ ἀρχῶν ἠξιώθη μεγίστων.

3-4 δὴ κε- VΣ : διακε- Wäsch. fortasse recte ‖ 9 ἕτεραι πλατεῖαι V^2 (quod coni. Bekk. sec. Sudam Z 33 ζεῦγμα II p. 502, 8-9 Adler) : ἕτερα πλατιὰ (-εῖα Σ) V^1 ἕ. πλοῖα Sylb. ἕτεραι τοσαῦται πλατεῖαι Schäfer, Philol. 1872 p. 184 sec. Amm. 23, 3, 9 ἑκατὸν (ρ') πλατεῖαι Mend. sec. Malal. p. 329, 18 [Bonn]; u. comm. ‖ 16 τῆς τοῦ Bekk. Mend. : τοῦ VΣ ‖ 24 ὑπὸ δὲ ἀδελφοῦ ἀδικηθεὶς VΣ : corrupta putant Sintenis-Wäsch., adsentiente propter hiatum Mend., qui dubitanter ὑπὸ δὲ τἀδελφοῦ δεθεὶς coni.

Circesio, de la que hablamos antes, y cruzó el río Abora para embarcarse y seguir su camino por el Éufrates. [2] Marchaban también con él los soldados que habían transportado los víveres, y embarcaron cuantos recibieron orden de ello. Pues ocurría que ya se había presentado la flota llevando consigo seiscientas embarcaciones de madera y quinientas de cuero. A ellas se añadían cincuenta navíos de guerra, acompañados por otros, de ancha cubierta, de los que en caso necesario habían de resultar puentes para que el ejército atravesara a pie los ríos. [3] Seguían otros muchos barcos que llevaban unos alimento para el ejército, otros madera para máquinas, otros ingenios ya construidos para el asedio, siendo almirantes Luciano y Constancio. Dispuesto de esta manera el ejército, el Emperador dirigió a todos desde una tribuna las palabras que cuadraban a la ocasión, honró a cada uno de los soldados con un donativo de ciento treinta monedas de plata y, tras nombrar comandante de infantería a Víctor y de caballería a Hormisdes y Arinteo conjuntamente, inició la invasión de Persia [45] . [4] Respecto a Hormisdes, ya antes se dijo que era persa e hijo de rey, y que, víctima de la injusticia de su hermano, llegó fugitivo junto al emperador Constantino, donde proporcionó muestras de lealtad y fue distinguido con los más altos honores y cargos.

---

[45] Zósimo no precisa cuándo desembarcó Juliano (tampoco lo precisa MALALAS , págs. 329-30 [Bonn], la única fuente con Zósimo que habla de ello; el mismo Malalas ubica la arenga a los soldados antes del embarque, no después). En cuanto a las cifras referentes a la flota, nuestro historiador parece coincidir, en términos generales, con los datos de las otras fuentes (cf. AMIANO , XXIII 3, 9; MALALAS , pág. 329 [Bonn]; ZONARAS , XIII 13), siempre que se tenga en cuenta que la mención de «muchas otras embarcaciones» se explica, casi con toda certeza, como un doblete de los barcos sin especificación de cometidos antes citados. Finalmente, los nombres de los almirantes deben corregirse en Luciliano y Constanciano. Sobre todo esto consúltese J. FONTAINE , *Ammien* ..., cit., nn. 69-71; F. PASCHOUD , ed. cit., III, nn. 34-35.

XIV. 1 Εἰσβαλόντι τοίνυν εἰς τὰ Περσῶν ὅρια τῷ βασιλεῖ τὸ μὲν εὐώνυμον εἶχεν ἡ ἵππος, συμπαραθέουσα τῇ ᾐόνι τοῦ ποταμοῦ, τῶν δὲ πεζῶν μοῖρα τὸ δεξιόν, ἠκολούθει τὸ δὲ λοιπὸν ἡ στρατιά, σταδίοις διεστῶσα ἑβδομήκοντα· τοῦτο δὲ τὸ μέσον εἶχε τά τε νωτοφόρα ζῷα, τὰ βαρέα τῶν ὅπλων καὶ τὴν ἄλλην παρασκευὴν φέροντα, καὶ ὅσον ἦν ὑπηρετικόν, ὡς ἂν ἐπ' ἀσφαλοῦς εἶεν καὶ οὗτοι, τοῦ στρατοῦ πανταχόθεν αὐτοὺς περιέχοντος· οὕτω διαθεὶς τὴν ἐπὶ τὸ πρόσω πορείαν χιλίους ἔγνω καὶ πεντακοσίους προπέμψαι, κατασκεψομένους εἴ τι πολέμιον ἢ προφανῶς ἢ δι' ἐνέδρας ἐπίοι, Λουκιλλιανὸν αὐτοῖς ἐπιστήσας. 2 Ἑξήκοντα δὲ προελθὼν σταδίους εἴς τι χωρίον Ζαυθὰ προσαγορευόμενον ἦλθε, καὶ ἐντεῦθεν εἰς Δοῦρα, ἴχνος μὲν ὡς ἄρα ποτὲ πόλις ἦν φέρουσαν, τότε δὲ ἔρημον· οὗ Γορδιανοῦ τοῦ βασιλέως ἐδείκνυτο τάφος· ἔνθα καὶ πλῆθος ἐλάφων φανὲν οἱ στρατιῶται κατατοξεύσαντες ἅλις ἐχρήσαντο τῇ ἐκ τούτων τροφῇ· σταθμοὺς δ' ἐντεῦθεν διελθὼν τέσσαρας εἴς τι χωρίον ἀφίκετο· Φαθούσας ὄνομα τούτῳ· ἦν δὲ ἀντικρὺ ἐν τῷ ποταμῷ νῆσος, ἔχουσα φρούριον ὑπὸ πλείστων οἰκούμενον. 3 Τούτῳ Λουκιλλιανὸν ἐπιπέμψας ἅμα τοῖς ὑπ' αὐτὸν κατασκόποις χιλίοις ἐπολιόρκει τὸ φρούριον· καὶ ἕως μὲν ἦν νύξ, ἐλάνθανον οἱ πολιορκοῦντες, ἡμέρας δὲ

2-4 locus multis suspectus; συμπαραθέουσα — ποταμοῦ post ἠκολούθει transposuit Sudhaus p. 26, post δεξιόν Mend. ‖ 4-5 ἠκολούθει — μέσον corrupta putauit Mend., qui sec. Amm. 24, 1, 2-3 maluisset ἠκολούθει δὲ... στρατιά, σταδίοις διεστῶσα ὀγδοήκοντα τῶν πρώτων· τὸ δὲ μέσον... suspicatus est etiam aliquot uerba intercidisse et Δαγαλάϊφον in λοίπον latere ‖ 12 ἐπίοι Sylb. Mend. : ἐπίῃ VΣ ‖ 20 ἀντικρὺ ἐν τῷ ποταμῷ V : ἄντικρυς ἐν τ. π. Mend. propter hiatum sec. 3, 9, 4; at u. 3, 15, 3; 3, 25, 1 ἐν τ. π. del. uelut glossema Herw. Mnem. 1888 p. 351.

[**XIV**] Cuando penetró por la frontera persa tenía el Emperador a su izquierda la caballería, que avanzaba en paralelo al margen del río, a su derecha una parte de la infantería, y en cuanto al resto del ejército, iba atrás, con una separación de setenta estadios [46] . El espacio de en medio lo ocupaban los animales de carga, que transportaban las armas pesadas y demás equipamiento, así como todo lo perteneciente a la intendencia, de suerte que, al rodearlo por todas partes la tropa, estuviese ello seguro. Organizado así el avance, decidió enviar por delante mil quinientos hombres, bajo el mando de Luciliano, para que indagasen cualquier posible agresión, abierta o en emboscada, por parte del enemigo. [2] Cuando hubo avanzado sesenta estadios, llegó a un lugar llamado Zautá, y de éste a Dura, que, mostrando huellas de la ciudad que había sido, a la sazón no era sino un desierto [47] . Allí se podía ver la tumba del emperador Gordiano, e irrumpió una gran cantidad de ciervos a los que los soldados abatieron a flechazos, comiendo de su carne hasta saciarse. Desde este punto llegó, tras recorrer cuatro etapas, a un lugar llamado Fatusas, frente al cual había, en el río, una isla que tenía una fortaleza con gran cantidad de habitantes [48] . [3] Contra ella envió a Luciliano acompañado de los mil exploradores a sus órdenes [49] , poniendo sitio a la fortaleza. Mientras fue de noche, los sitiadores pasaron desapercibidos, pero cuando de día

---

[46] Juliano seguía el descenso del Éufrates, que estaba a su derecha; por tanto lo que marchaba junto a la orilla del río era la infantería, detalle además que confirma AMIANO , XXIV 1, 2. [47] Zauzá (en Amiano, *Zaithan)* es la actual Al-Merwanijje. Dura (= Dura-Europos) fue destruida por los persas hacia el 257. [48] La isla que Amiano llama Anathan, nombre al que responde la actual ciudad de Anah. [49] La presente noticia contradice lo afirmado en el párrafo 1, donde Zósimo habla de 1.500 hombres bajo Luciliano; como AMIANO , XXIV 1, 6, también asigna 1.000 hombres a Luciliano para esta misión, debe concluirse que el error de la presente indicación consiste en la indebida introducción de un artículo.

γενομένης ὑπὸ τῶν ἐν τῷ φρουρίῳ τινὸς ὕβρείας ἕνεκα προελθόντος ὀφθέντες εἰς θόρυβον τοὺς ἔνδον κατέστησαν·|πάντων τε εἰς τὸ τεῖχος ἀναβάντων, ὁ βασιλεὺς ἐπὶ τὴν νῆσον μηχαναῖς ἅμα καὶ ἑτέραις δυνάμεσι περαιωθεὶς παρενεγύησε τοῖς ἔνδον ἑαυτούς τε καὶ τὸ φρούριον παραδοῦσι πρόδηλον ἐκφυγεῖν ὄλεθρον. 4 Ἐπεὶ δὲ τοῦτο πεποιήκασιν, ἄνδρας μὲν σὺν παισὶ καὶ γυναιξὶν εἰς τὴν ὑπὸ Ῥωμαίων ἐχομένην γῆν ἅμα φυλακῇ στρατιωτῶν παρέπεμψε, Πουσαίῳ δὲ τῷ τούτων ἡγουμένῳ δοὺς ταξιάρχου φροντίδα τὸ λοιπὸν ἐν τοῖς ἐπιτηδείοις εἶχε, πιστοῦ πειραθείς.

XV. 1 Ἐντεῦθεν ὁδόν τινα διαμείψας ἐνέτυχεν ἑτέρᾳ τοῦ ποταμοῦ νήσῳ, καθ' ἣν φρούριον ὀχυρώτατον ἦν· ᾧ προσβαλὼν ὁ βασιλεύς, καὶ ἄληπτον πανταχόθεν εὑρών, ἐκδοῦναι σφᾶς αὐτοὺς ἀπῄτει καὶ μὴ ἀναμεῖναι τὸν ἐκ τῆς ἁλώσεως κίνδυνον· τῶν δὲ τοῦτο ποιήσειν ὅπερ ἂν καὶ τοὺς ἄλλους δρῶντας θεάσαιντο ὑποσχομένων, ἐπὶ τὰ πρόσω διῄει. 2 Καὶ ἕτερα δὲ φρούρια κατέλιπε, ταῖς ὁμοίαις πεισθεὶς ὑποσχέσεσιν· ᾤετο γὰρ μὴ περὶ μικρὰ διατρίβειν τὸν χρόνον, ἀλλ' εἰς τὸ κεφάλαιον ἑαυτὸν ἐμβαλεῖν τοῦ πολέμου· σταθμοὺς δέ τινας παραμείψας εἰς Δάκιρα παρεγένετο, πόλιν ἐν δεξιᾷ πλέοντι τὸν Εὐφράτην κειμένην· ἥν τινα τῶν οἰκούντων ἔρημον εὑρόντες οἱ στρατιῶται σῖτόν τε πολὺν ἐναποκείμενον ἥρπασαν καὶ ἁλῶν πλῆθος οὐ

5 παρενεγύησε Mend. : -ενεγγύ- V ‖ 6 παραδοῦσι V pars apographorum : παραδιδοῦσι apographum unum Mend. ‖ 20 γὰρ VΣ Mend. (cf. 4, 34, 3; Xen. *Hell.* 4, 7, 4; 5, 1, 15; Herodian. 5, 6, 6) : γὰρ δεῖν Bekk. Herw. Mnem. 1888 p. 352 ‖ 21 ἐμβαλ//εῖν, λ erasa V (inde Σ) : ἐμβάλλειν Sylb. propter διατρίβειν (l. 20) ‖ 23 πλέοντι VΣ : καταπλ- Sievers (u. comm.) p. 247 ‖ 25 ἀλῶν Reit. edd. sec. Amm. 24, 2, 3 : ἄλλων VΣ.

se hizo fueron vistos por los de la fortaleza cuando uno salió a coger agua, sumiendo a los sitiados en confusión. Todos subieron a la muralla, y entonces el Emperador, una vez pasado a la isla junto con máquinas y otras fuerzas, hizo llegar a los sitiados la promesa de escapar a una destrucción cierta si hacían entrega de sus personas y de la fortaleza. [4] Cuando así lo hubieron hecho, mandó a los hombres, bajo escolta militar y en compañía de las mujeres y los niños, a territorio romano, y a Puseo, el comandante de éstos le concedió, después de haber probado su lealtad, cargo de oficial superior y le tuvo en adelante entre sus íntimos.

[**XV**] Después de recorrer un trecho desde este lugar, dio con otra isla del río en la que había una muy robusta fortaleza [50] . Contra ella se lanzó el Emperador, y al ver que era por todas sus partes inexpugnable, los conminó a que se rindieran anticipándose a los peligros de la captura. Cuando le prometieron que harían aquello que vieran que hacían los demás, continuó el avance. [2] Dejó atrás, fiando en promesas similares, otras plazas, pues era su parecer no gastar el tiempo en pequeñeces, sino ir a lo que era la parte capital de la guerra. Tras recorrer algunas etapas llegó a Dacira, ciudad situada a la derecha según se baja por el Éufrates [51] . Al encontrarla vacía de sus habitantes, los soldados se apoderaron de abundante trigo allí depositado y de una cantidad de sal no

---

[50] La que Amiano, XXIV 2, 1, llama *Thilutha* , actual Telbes, a 14 Km. de Anah. [51] Si se presta crédito a AMIANO , XXIV 2, 2, entre Tiluta y Dacira *(Diacira* en Amiano; probablemente la actual Hit) Juliano encontró sólo una plaza fuerte *(Achaiachala* , actual Haditha) que se rindió bajo las mismas condiciones que las anteriores y una pequeña población a la que incendiaron los soldados romanos.

μέτριον, γυναῖκάς τε τὰς ἐγκαταλειφθείσας ἀποσφάξαντες οὕτω κατέσκαψαν ὥστε οἴεσθαι τοὺς ὁρῶντας μηδὲ γεγονέναι πόλιν αὐτόθι. 3 Ἐπὶ δὲ τῆς ἀντικρὺ ᾐόνος, δι' ἧς ὁ στρατὸς ἐποιεῖτο τὴν πορείαν, πηγή τις ἦν ἄσφαλτον ἀνιεῖσα· μεθ' ἣν εἰς Σίθα, εἶτα εἰς Μηγίαν ἀφικόμενος, μετ' ἐκείνην εἰς Ζαραγαρδίαν πόλιν| ἦλθεν, ἐν ᾗ βῆμα ἦν ὑψηλὸν ἐκ λίθου πεποιημένον, ὃ Τραϊανοῦ καλεῖν εἰώθασιν οἱ ἐγχώριοι. 4 Ταύτην ῥᾷστα τὴν πόλιν οἱ στρατιῶται διαρπάσαντες καὶ ἐμπρήσαντες αὐτήν τε τὴν ἡμέραν καὶ τὴν ὑστεραίαν ἡσυχίαν ἦγον· θαυμάσας δὲ ὁ βασιλεὺς ὅτι τοσαύτην τοῦ στρατοῦ διαδραμόντος ὁδὸν οὐδεὶς ἐκ Περσῶν οὔτε λόχος ἐξ ἐνέδρας οὔτε ἐκ τοῦ προφανοῦς ἀπήντησέ τι πολέμιον, Ὁρμίσδην εἰς κατασκοπὴν ἐκπέμπει μετὰ δυνάμεως, οἷα τὰ Περσῶν διὰ πάσης ἀκριβείας εἰδότα. 5 Ὃς μικροῦ πρὸς ἔσχατον ἐληλύθει μετὰ τῶν σὺν αὐτῷ κίνδυνον, εἰ μὴ τύχη τις αὐτοὺς ἐκ παραδόξου διέσωσεν· ὁ γὰρ σουρήνας (ἀρχῆς δὲ τοῦτο παρὰ Πέρσαις ὄνομα) λόχον ἔν τινι τόπῳ καθίσας Ὁρμίσδην καὶ τοὺς σὺν αὐτῷ στρατιώτας ἐκαραδόκει, παριοῦσιν ἐθέλων ἐπελθεῖν, οὐδὲν τοιοῦτον προσδεχομένοις. 6 Καὶ δὴ τὰ τῆς ἐλπίδος αὐτοῖς εἰς ἔργον ἐξέβαινεν, εἰ μὴ διῶρυξ ἐν μέσῳ τοῦ Εὐφράτου, πέρα τοῦ συνήθους ῥυεῖσα, τῶν περὶ τὸν Ὁρμίσδην ἐκώλυσε τὴν διάβασιν· καὶ διὰ τοῦτο ἀναβληθείσης τῆς παρόδου, τῇ ὑστεραίᾳ φανέντι τῷ σουρήνᾳ καὶ τοῖς κοινωνήσασιν αὐτῷ τῆς ἐνέδρας συστραφέντες ἐπέθεντο, καὶ τοὺς μὲν ἀνελόντες τοὺς δὲ τρέψαντες εἰς φυγὴν τῇ λοιπῇ στρατιᾷ συνέμιξαν.

1 τὰς V : τινὰς Mend. sec. Amm. 24, 2, 3 || 3 ἐπὶ Σ : ἐπεὶ V || 3-4 ἀντικρὺ scripsi (u. ad 3, 14, 2) : ἄντικρυ V ἄστικρυς Σ Mend. || 14 Ὁρμίσδην Mend. : ὁρμίσδαν ex -δην corr. V, inde Σ; eadem praebent VΣ infra 3, 15, 5; cf. 3, 11, 3; 3, 15, 6; 3, 18, 1; al. || 24 Ὁρμίσδην V : -δαν Σ.

mediana, y tras degollar a cuantas mujeres habían sido abandonadas en el lugar efectuaron una devastación tal como para no creer, contemplándolo, que en aquel paraje había habido una ciudad. [3] En la orilla opuesta, por la que marchaba el ejército, había una fuente de la que brotaba asfalto, pasada la cual llegó a Sita, después a Meguía y, tras ésta, a la ciudad de Zaragardia, en donde había un alto pedestal de piedra que los naturales acostumbran a llamar «de Trajano» [52] . [4] Los soldados, una vez que tomaron con gran facilidad la plaza y que le prendieron fuego, descansaron ese día y el siguiente. Y el Emperador, extrañado de que, después de recorrer el ejército tan largo trecho, por parte persa no le saliera al paso ni fuerza alguna emboscada ni ningún tipo de agresión abierta, envía para investigar, como persona que conocía con mayor precisión los hábitos de los persas, a Hormisdes acompañado de un destacamento. [5] El cual se habría visto envuelto con sus compañeros en gravísimo peligro a no ser por un golpe de suerte que inopinadamente vino a salvarles. Pues el Surena (éste es nombre de un cargo militar persa) [53] había colocado una emboscada en cierto lugar y vigilaba a Hormisdes y a los soldados que le acompañaban con la intención de atacarles cuando, sin esperar nada semejante, pasasen por allí. [6] Y habría llevado a efecto su plan a no ser porque un canal del Éufrates, al fluir con corriente superior a la habitual, impidió a Hormisdes y a sus tropas cruzar. Diferido el paso por esta razón, cuando al día siguiente aparecieron el Surena y sus compañeros de emboscada se agruparon y los atacaron; tras acabar con algunos de ellos y poner a otros en fuga se unieron al resto del ejército.

---

[52] Zaragardia (en AMIANO , XXIV 2, 3, *Ozogardana)* es la moderna Sari-al-Hadd. En cambio, Sita y Meguía, sólo mencionadas por Zósimo, parecen ser dobletes de Diacira erróneamente tenidas por ciudades distintas de ésta: (cf. F. PASCHOUD , ed. cit., III, n. 42). [53] *Suren* era el nombre de una familia persa a quien competía hereditariamente el segundo puesto en la jefatura del ejército. Los autores grecolatinos entendieron el nombre de Surena como título militar: cf. J. FONTAINE , *Ammien* ..., cit., n. 319.

XVI. 1 Προελθόντες δὲ εἰς τὰ πρόσω εἴς τινα τοῦ Εὐφράτου διώρυχα διῆλθον, ἐκτεινομένην μὲν εἰς μῆκος ἄχρι τῆς Ἀσσυρίων, συμπαρατεινομένην δὲ πάσῃ τῇ μέχρι τοῦ Τίγρητος χώρᾳ· ἐνταῦθα πηλῷ κολλώδει καὶ τέλμασιν ἐμπεσόντες οἱ στρατιῶται, καὶ τοὺς ἵππους μάλιστα τῇ δυσχωρίᾳ θεώμενοι δυσχεραίνοντας,|καὶ οὐδὲ σὺν τοῖς ὅπλοις οἷοί τε ὄντες διανήξασθαι τὴν διώρυχα, τοῦ τε βάθους οὐκ ἐνδιδόντος καὶ τοῦ πηλοῦ διὰ τὸ δίυγρον ὑπερβῆναι μὴ συγχωροῦντος, ἐν ἐσχάτῃ τοῦ πρακτέου κατέστησαν ἀπορίᾳ. 2 Καθίστη δὲ αὐτοῖς τὸν κίνδυνον μείζονα τὸ τοὺς πολεμίους ἐπὶ τῆς ἀντιπέρας ὄχθης ὁρᾶσθαι βέλεσί τε καὶ λίθων ἐκ σφενδονῶν ἀφέσει τὴν διάβασιν εἴργοντας· οὐδενὸς δὲ λύσιν εὕρασθαι δυναμένου τῶν περιεστώτων κινδύνων, ἀγχινοίᾳ τῇ περὶ πάντα καὶ ἐμπειρίᾳ πολεμικῇ προέχων ὁ βασιλεὺς ἔγνω τοῖς ἀπολυθεῖσιν ἐπὶ κατασκοπὴν χιλίοις καὶ πεντακοσίοις ἀνδράσιν, ὑπὸ Λουκιλλιανῷ τεταγμένοις, σημῆναι κατὰ νώτου χωρῆσαι τῶν πολεμίων, ἐπισπάσασθαί τε τὴν τούτων ὁρμήν, τούτῳ τε τῷ τρόπῳ δοῦναι σφίσιν ἀκώλυτον τὸν ⟨τῆς⟩ διώρυχος ἔκπλουν. 3 Ἐκπέμπει τε πρὸς τοῦτο Βίκτορα τὸν στρατηγὸν μετὰ δυνάμεως ἀρκούσης· ὃ δὲ νύκτα ἐπιτηρήσας, ὡς ἂν μὴ ὀφθείη παρὰ τῶν Περσῶν ἀποχωρῶν τοῦ στρατεύματος, καὶ οὕτω δὲ προελθὼν ὁδὸν τοσαύτην ὅσῃ τὸ γιγνόμενον οὐδὲ ἡμέρας οὔσης ὁρᾶν ἐδίδου τοῖς ἐναντίοις, περαιωθεὶς τὴν διώρυχα τοὺς ὑπὸ Λουκιλλιανῷ τεταγμένους ἐζήτει.

1 εἰς τὰ πρόσω εἴς τινα V : propter hiatum deleri εἰς τ. π. uel scribi πρός τινα uult Mend. ‖ 5 κολλώδει Σ : κο//λώδει, ο ex ω, V ‖ 12 ἀντιπέρας Mend. sec. 3, 24, 1; 3, 25, 2; 3, 30, 5; 4, 20, 5; u. et 2, 26, 1 : -πέρα V ‖ 20 τὸν τῆς Bekk. Mend. : τὸν VΣ ‖ 21 ἔκπλουν V : διάπλουν Herw. Mnem. 1888 p. 351 (u. 3, 17, 2) ‖ 24 οὕτω δὲ VΣ : οὕτω Sylb. ‖ 25 ὅσῃ Bekk. Mend. : ὅσον VΣ.

[**XVI**] Al continuar su avance llegaron a un canal del Éufrates cuyo curso se prolonga a lo largo del territorio de Asiria, extendiéndose por toda la comarca para alcanzar el Tigris [54] . Allí fueron a dar los soldados en terreno de viscoso lodo y pantanoso, y cuando vieron que sobre todo los caballos se encontraban en apuros por lo difícil del lugar, como tampoco ellos eran capaces de atravesar el canal a nado con sus armas y puesto que ni la profundidad consentía el paso a pie, ni era éste posible porque el barro estaba medio seco, se vieron totalmente incapacitados para decidir lo que había de hacerse. [2] Hacía más precaria su situación el ver a los enemigos en la orilla contraria dispuestos a impedir el tránsito con proyectiles y piedras lanzadas por honda. Nadie podía hallar solución para los peligros en que se encontraban, pero el Emperador, que por su penetración en todos los asuntos y por su experiencia bélica se distinguía de todos los demás, resolvió indicar a los mil quinientos hombres que habían sido destacados a las órdenes de Luciliano como exploradores que avanzasen por la espalda del enemigo y atrajeran su ataque, con lo que les permitirían a ellos pasar por el canal sin dificultades. [3] A tal efecto despacha, acompañado por efectivos suficientes, al general Víctor. Éste aguardó la noche, de suerte que no pudiera ser visto por los persas al separarse del ejército; y una vez que, de esta manera, avanzó trecho suficiente para no permitir que el enemigo viese lo que estaba pasando, atravesó el canal y se puso a buscar a los hombres de Luciliano.

---

[54] Se trata del Naarmalca, al que Zósimo más adelante llama *Narmalaques* (actual Saklawija al-Wassas), un gran canal navegable que surge a la izquierda del Éufrates y atraviesa Mesopotamia (la Asiria de Zósimo) hasta desembocar en el Tigris: cf. F. PASCHOUD , ed. cit., III, págs. 246-50.

XVII. 1 Προελθὼν δὲ περαιτέρω, πολεμίου παντάπασιν οὐδενὸς αἰσθόμενος, ἐκβοήσεσί τε ἀνεκάλει τοὺς ὁμοφύλους καὶ σαλπίγγων ἤχοις πλησιάσαι σφίσιν ἐσήμαινεν· ἀπαντησάντων δὲ κατὰ νοῦν αὐτῷ καὶ τῶν ἀπὸ τῆς τύχης συμπάντων ὁ Λουκιλλιανὸς τεκμηράμενος, τῇ μετὰ Βίκτορος οὔσῃ δυνάμει συμμίξας, ἐπῄει κατὰ νώτου τοῖς πολεμίοις ἀπροσδοκήτος. 2 Οἱ δ' ἀπαράσκευοι πρὸς τοῦτο ληφθέντες| ἐκτείνοντό τε καὶ ἔφευγον ὅπῃ παρείκοι· καὶ ὁ βασιλεύς, ἐκβάντος αὐτῷ εἰς ἔργον τοῦ στρατηγήματος, ἐπεραιοῦτο τὴν διώρυχα κωλύοντος οὐδενός· καὶ τὴν μὲν ἵππον τοῖς παρατυχοῦσι πλοίοις, τὴν δὲ πεζὴν ναυσίν, ἃς ἐν πολλοῖς μέρεσι τῆς διώρυχος εὗρε, διαβιβάσας εἴχετο τῆς ἐπὶ τὸ πρόσω πορείας, πολέμιον τέως οὐδὲν ὑφορώμενος. 3 Ἐλθὼν δὲ εἰς πόλιν ᾗ Βηρσαβῶρα ἦν ὄνομα, τὸ μέγεθος ἐσκόπει τῆς πόλεως καὶ τὸ τῆς θέσεως ὀχυρόν· δύο μὲν γὰρ κυκλοτερέσι περιείληπτο τείχεσιν, ἀκρόπολις δ' ἦν ἐν μέσῳ τεῖχος ἔχουσα καὶ αὐτή, τμήματι κύκλου τρόπον τινὰ ἐμφερές, πρὸς ἣν ὁδός τις ἦν ἀπὸ τοῦ ἐνδοτέρου τῆς πόλεως τείχους, οὐδὲ αὐτὴ ῥᾳδίαν ἔχουσα τὴν ἀνάβασιν. 4 Καὶ τὰ μὲν πρὸς δυσμὰς τῆς πόλεως καὶ μεσημβρίαν περιφερής τις καὶ σκολιὰ διέξοδος εἶχε, τοῦ δὲ πρὸς ἄρκτον μέρους παρασπασάμενοι τοῦ ποταμοῦ διώρυχα πλατεῖαν προυβάλοντο, δι' ἧς καὶ ὕδωρ εἰς χρῆσιν τῶν ἐνοικούντων ὠχέτευον. 5 Τὰ δὲ πρὸς ἕω τάφρῳ βαθείᾳ καὶ χάρακι διὰ σταυ-

4 αὐτῷ VΣ : αὐτῶν dubitanter Reit. ‖ 5 συμπάντων Bekk. Mend. : συμβάν - VΣ Rhein. p. 69 (conferens 5, 11, 2) ; de hoc loco obscuro u. comm. ‖ 7 ἀπροσδοκήτοις Mend. : -τως V (u. comm. ad 1, 28, 1) ‖ 9 παρείκοι Bekk. Mend. (sec. 3, 24. 2; cf. Thuc., 3, 1, 2 et Hase ad Leon. Diac. p. 413 [Bonn]) : παρήκοι VΣ ‖ 10 αὐτῷ εἰς ἔργον V : εἰς ἔ. αὐ. Mend. propter hiatum sec. 1, 19, 1; 2, 48, 3 οὕτως εἰς ἔ. Wäsch. ‖ 24 προυβάλοντο Σ : -βάλλον V^1 -βά//λον, τ supra ο addito V^2.

[**XVII**] Después de haber penetrado algo más hacia el interior y cuando se percató de que no había absolutamente ningún enemigo, comenzó a llamar a gritos a sus compatriotas y a indicarles con sones de trompeta que se acercasen. Una vez que les hubieron salido al encuentro, Luciliano, constatando que el azar les había ofrecido una ocasión acorde con sus planes, mezcló sus fuerzas a las de Víctor e inesperadamente avanzó contra los enemigos por la espalda. [2] Los cuales, al no hallarse prevenidos para tal eventualidad, eran masacrados y se daban a la fuga por donde mejor podían. Después del éxito obtenido con su estratagema, el Emperador efectuó la travesía del canal sin que nadie lo estorbara. Cuando hubo pasado a la caballería en las balsas que pudo obtener sobre la marcha y a la infantería en las embarcaciones que halló en muchos puntos del canal, continuó su avance sin recelar de momento ninguna agresión por parte del enemigo. [3] Al llegar a una ciudad llamada Bersabora [55] , reparó en el tamaño de la ciudad y en lo sólido de su posición. Estaba rodeada, en efecto, por dos murallas circulares, hallándose en medio la acrópolis, que por su parte disponía igualmente de una muralla semejante en cierto sentido al segmento de un círculo y hacia la cual había un camino desde la muralla del interior de la ciudad, camino que a su vez tampoco ofrecía fácil acceso. [4] Presentaba la ciudad en la parte que daba al poniente y al sur una sinuosa vía de salida, mientras que por la parte norte habían tendido, desviándolo del río, un amplio canal por el que discurría el agua para uso de los habitantes. [5] La parte oriental por un foso profundo y un baluarte formado por estacas

---

[55] Bersabora (en Amiano, *Pirisabora* ; es transcripción del persa *Peroz-Shapur* 'Sapor victorioso') se ha identificado con la actual Al-Ambar.

ρωμάτων ἐκ ξύλων ὀχυρῶν ἐναπείληπτο· πύργοι δὲ εἱστήκεσαν περὶ τὴν τάφρον μεγάλοι, τὰ μὲν ἀπὸ γῆς μέχρι μέσου δι' ὀπτῆς πλίνθου δεδεμένης ἀσφάλτῳ, τὰ δὲ μετὰ τὸ μέσον πλίνθῳ τε ὁμοίᾳ καὶ γύψῳ δεδομημένα.

XVIII. 1 Ταύτην πολιορκίᾳ τὴν πόλιν ὁ βασιλεὺς ἑλεῖν ἐγνωκὼς εἰς τὸ ἔργον παρεκάλει τοὺς στρατιώτας· τῶν δὲ τὸ κέλευμα σὺν προθυμίᾳ πάσῃ πληροῦν ὡρμηκότων, οἱ τὴν πόλιν οἰκοῦντες εἰς φιλίαν ἠξίουν ἐλθεῖν τῷ βασιλεῖ, νῦν μὲν Ὁρμίσδην αὐτοῖς πεμφθῆναι διαλεχθησόμενον| περὶ σπονδῶν ἐξαιτοῦντες, νῦν δὲ ὕϐρεσιν αὐτὸν περιϐάλλοντες ὡς αὐτόμολον καὶ φυγάδα καὶ τῆς πατρίδος προδότην· ἐφ' οἷς εἰς ὀργὴν εἰκότως ὁ βασιλεὺς ἀναστὰς ἔργου πάντας ἔχεσθαι καὶ ἐγκεῖσθαι τῇ πολιορκίᾳ προθύμως ἐκέλευε. 2 Τῶν δὲ ἐφ' ᾧ τεταγμένος ἕκαστος ἦν ὁρμησάντων, οἱ κατὰ τὴν πόλιν ὄντες οὐκ ἀξιόχρεως ἑαυτοὺς εἰς φυλακὴν τῶν τῆς πόλεως τειχῶν θεασάμενοι συνέφυγον ἅπαντες ἐπὶ τὴν ἀκρόπολιν· ὅπερ ἰδὼν ὁ βασιλεὺς ἐπαφῆκε τῇ πόλει τῶν οἰκούντων ἐρημωθείσῃ τὴν δύναμιν· ἣ δὲ τὰ τείχη καθελοῦσα καὶ τὰς οἰκίας ἐμπρήσασα μηχανάς τε ἐπὶ τῶν ἐρειπίων τῆς πόλεως ἵστη, καὶ ἀπὸ τούτων τοὺς ἐπὶ τῆς ἀκροπόλεως ἔϐαλλε βελῶν καὶ λίθων ἀφέσει· ἐπεὶ δὲ οἱ ἀπὸ τῆς πόλεως λίθοις τε καὶ βέλεσι συνεχέσιν ἠμύνοντο τοὺς πολιορκοῦντας, ἐγίνετό τε πολὺς ἑκατέρωθεν φόνος, τότε δὴ ὁ βασιλεύς, εἴτε ἐξ οἰκείας ἐννοίας, τῇ τῶν τόπων ἁρμοσάμενος θέσει, εἴτε καὶ τοῦτο ἐκ πολυμαθείας λαϐών, μηχάνημά τι κατεσκεύασε τοιόνδε. 3 Ξύλα μέγιστα τέσσαρα πρὸς

1 ὀχυρῶν V[2] : -ρωμένως V[1] uitium latens suspicatur Mend. fortasse πεποιημένων intercidisse putat Herw. Mnem. 1888 p. 351 ‖ 24 πόλεως VΣ : ἀκροπό- Sylb., fortasse recte ‖ 26 δὴ apographum unum edd. : δὲ V pars apographorum.

de fuertes maderas en empalizada estaba guardada. Alrededor del foso se levantaban grandes torres, construidas desde el suelo hasta la mitad con ladrillos aglutinados por asfalto, y, a partir de la mitad, con los mismos ladrillos y yeso.

[**XVIII**] Decidido a tomar por asedio la ciudad en cuestión, se dirigió el Emperador a los soldados para exhortarlos a la tarea. Cuando éstos ya se lanzaban a cumplir la orden con todo entusiasmo, los habitantes de la ciudad resolvieron llegar a un acuerdo con el Emperador, y ora pedían que se les enviara a Hormisdes para tratar el acuerdo, ora colmaban a éste de injurias por desertor, tránsfuga y traidor a la patria. Ante lo cual, y como es lógico, el Emperador montó en cólera, ordenando que se aplicasen todos a la tarea y que perseverasen animosamente en el asedio. [2] Cada uno se dirigió al lugar al que había sido asignado, mientras que los de la ciudad, como reparasen en que no eran bastantes para defender las murallas de la ciudad, se refugiaron todos en la acrópolis. Al ver esto, el Emperador entregó la ciudad, abandonada por sus habitantes, a los soldados. Éstos, tras derruir las murallas y prender fuego a las casas, levantaron sobre las ruinas de la ciudad máquinas desde las que tiraban contra quienes estaban en la acrópolis, disparándoles piedras y proyectiles. Como los de la ciudad se defendían de los atacantes con lluvia de proyectiles y piedras, se produjo gran mortandad por ambas partes. Entonces el Emperador, ya porque adecuándose a la disposición del paraje lo idease gracias a su astucia personal, ya porque también a ello llegase en razón de su múltiple [3] saber, urdió la siguiente estratagema: cuatro tablones de tamaño muy grande

ἄλληλα συνδήσας σιδήρῳ καὶ πύργου σχῆμα τετραγώνου διὰ τούτων ἀπεργασάμενος, ἀντιστήσας τε τῷ τῆς ἀκροπόλεως τείχει, τῇ τε κατὰ βραχὺ τοῦ ὕψους προσθήκῃ τῷ μήκει τῶν τειχῶν ἴσον ἀποτελέσας, εἰς τοῦτον ἀνεβίβασε τοξότας τε καὶ τοὺς ἀπὸ μηχανῶν ἀφιέντας λίθους καὶ βέλη· τότε τοίνυν ἔκ τε τῶν πολιορκούντων οἱ Πέρσαι καὶ ἐκ τῶν ἐφεστηκότων τῇ μηχανῇ πανταχόθεν καταβαλλόμενοι μέχρι μέν τινος ἀντέσχον, τελευτῶντες δὲ ὁμολογίᾳ τὴν ἀκρόπολιν ὑπέσχοντο παραδώσειν, εἰ μέτριόν τι παρὰ| τοῦ βασιλέως αὐτοῖς ὑπαρχθείη. 4 Καὶ συνεδόκει τῶν ἔνδον Περσῶν ἕκαστον διὰ μέσου τοῦ στρατεύματος ἀσφαλῶς διαβῆναι, ῥητὸν ἀργύριον καὶ ἱμάτιον ἔχοντα, παραδοθῆναι ⟨δὲ⟩ τῷ βασιλεῖ τὴν ἀκρόπολιν· οὗ δὴ γεγονότος ἄνδρες ἀφείθησαν πεντακισχίλιοι περί που τὸν ἀριθμόν, δίχα τῶν πλοίοις μικροῖς διὰ τῆς διώρυχος οἵων τε γενομένων διαφυγεῖν· συνεξῆλθε δὲ τῷ πλήθει καὶ Μομόσειρος ⟨ὁ⟩ τούτων ἡγούμενος. 5 Τοῦτον δὲ τὸν τρόπον καὶ τῆς ἀκροπόλεως αἱρεθείσης, ἔρευναν οἱ στρατιῶται τῶν ἐναποκειμένων ποιούμενοι σῖτόν τε ἄπλετον εὗρον καὶ ὅπλα παντοῖα καὶ μηχανήματα καὶ ἐπίπλων πλῆθος οὐ μέτριον καὶ τῆς ἄλλης ἀποσκευῆς· τοῦ μὲν οὖν σίτου τὸ πλέον ἐναπετέθη τοῖς πλοίοις εἰς ἀποτροφὴν τοῦ στρατοῦ, μέρος δὲ τούτου καὶ αὐτοὶ πρὸς ἑαυτοὺς διενείμαντο, καὶ δίχα τῆς δημοσίας σιτήσεως ἧς εἶχον. 6 Τῶν δὲ ὅπλων ὅσα μὲν ἐπιτήδεια Ῥωμαίοις ἐδόκει πρὸς πόλεμον εἶναι, ταῦτα τῷ στρατοπέδῳ διεδόθη, τὰ δὲ Περσικῇ μόνον ἁρμόδια χρήσει, αὐτοῖς δὲ οὐκέτι, τὰ μὲν πυρὶ παρεδόθησαν, τὰ δὲ τῷ

13 ἱμάτιον V : ἱ. ἓν dubitanter Mend. sec. Xen. *Hell.* 2, 3, 6 al. ‖ 13-14 δὲ τῷ Σ : τῷ V ‖ 16 μικροῖς Leunc. edd. sec. Amm. 24, 2, 22 : μακ- VΣ ‖ 18 ὁ τούτων Mend. : τ. V ‖ 29 παρεδόθησαν VΣ : -έδοσαν Bekk.

ensambló entre sí con hierro, los conjuntó dándoles forma de torre cuadrangular y puso ésta frente a la muralla de la acrópolis; poco a poco fue elevando su altura hasta igualarla al nivel del muro, y entonces hizo que subieran a ella arqueros y hombres de los asignados al lanzamiento de piedras y proyectiles desde las máquinas. Tras lo cual los persas, acribillados por doquier bajo los disparos tanto de los atacantes como de los apostados sobre la máquina, resistieron un tiempo, pero acabaron por llegar a un acuerdo en cuya virtud prometieron entregar la acrópolis si por parte del Emperador recibían un trato moderado. [4] Se convino que cada uno de los persas que estaba dentro pasaría por medio del ejército sin sufrir daño, llevando una cantidad de dinero pactada y un vestido, y que la acrópolis sería entregada al Emperador. Llevado lo cual a efecto, fueron unos cinco mil los hombres a los que se permitió ir [56] , aparte de cuantos pudieron huir en pequeñas embarcaciones por el canal. También Momosiro [57] , su comandante, salió con ellos. [5] Tomada de esta manera la acrópolis, los soldados se pusieron a buscar lo que allí hubiera, y hallaron muchísimo trigo, armas de todas clases, máquinas y cantidades ingentes de muebles y demás utensilios. La mayor parte del trigo fue depositado en las barcas para avituallamiento del ejército, pero hubo también una parte que ellos mismos repartieron entre sí, con independencia de la ración oficialmente asignada. [6] De las armas, cuantas parecieron que podían servir al romano para la guerra fueron distribuidas entre el ejército, pero aquellas que eran adecuadas sólo para que las utilizase el persa y no ellos, las entregaron unas al fuego, otras al

---

[56] Según AMIANO , XXIV 2, 22, fueron 2.500. [57] *Mamersides* en AMIANO , XXIV 2, 21.

ποταμῷ φέρεσθαι καὶ καταδύεσθαι συνεχωρήθησαν· ἐντεῦθεν οὐχ ἡ τυχοῦσα τῷ Ῥωμαίων ἀξιώματι προσεγένετο δόξα, πόλεως μεγάλης καὶ τῶν ἐν Ἀσσυρίᾳ μετὰ Κτησιφῶντα μεγίστης, οὕτω τε ὠχυρωμένης, ἐν δύο μόναις ἡμέραις κατὰ κράτος ἁλούσης· ἐφ' οἷς ὁ βασιλεὺς φιλοφρονούμενος τὸ στράτευμα λόγοις τε καθήκουσιν ἐτίμα καὶ ἕκαστον ἀργυροῖς ἑκατὸν νομίσμασιν ἐδωρεῖτο.

XIX. 1 Ἀλλὰ ταῦτα μὲν ὧδε ἐπράχθη, ὁ σουρήνας δὲ μετὰ δυνάμεως οὐκ ὀλίγης ἔκ τι|νος τῶν ἐν Ἀσσυρίᾳ πόλεων τοῖς προηγουμένοις τοῦ Ῥωμαίων στρατοπέδου κατασκοπῆς ἕνεκεν ἐπελθών, οὐ προϊδομένοις τὸ ἐσόμενον, ἕνα μὲν τῶν ἡγουμένων τριῶν ὄντων ἀνεῖλεν ἅμα τισὶ τῶν ὑπ' αὐτῷ τεταγμένων, τρέψας δὲ τοὺς ἄλλους ἐγκρατὴς ἐγένετο στρατιωτικοῦ σημείου, δράκοντος ἐκτύπωμα φέροντος, οἷα φέρειν εἰώθασιν ἐν ταῖς μάχαις Ῥωμαῖοι. 2 Τοῦτο μαθὼν οὐκ ἤνεγκε μετρίως ὁ βασιλεύς, ἀλλὰ μετὰ θυμοῦ τοῖς ἀμφὶ τὸν σουρήναν ὡς εἶχεν ἐπιπεσὼν τούτων μὲν εἰς φυγὴν ἔτρεψεν ὅσοι διαφυγεῖν ἠδυνήθησαν, τὸ δὲ σημεῖον ἀναλαβὼν τὸ παρὰ τῶν πολεμίων ἀφαιρεθὲν ἐπῆλθε παραχρῆμα τῇ πόλει καθ' ἣν ὁ σουρήνας ἀποκρύπτων τὸν λόχον τοῖς κατασκόποις ἐπῆλθεν, εἷλέ τε κατὰ κράτος καὶ ἐπυρπόλησε· τὸν δὲ τῶν κατασκόπων ἡγεμόνα, διότι τοῖς πολεμίοις τὸ σημεῖον ἀπέλιπε, τὴν σωτηρίαν τῆς Ῥωμαϊκῆς μεγαλοφροσύνης ἔμπροσθεν ποιησάμενος, παρέλυσέ τε τῆς ζώνης καὶ ἐν ἀτιμίᾳ τὸ λοιπὸν εἶχεν ἅμα τοῖς κοινωνήσασιν αὐτῷ τῆς φυγῆς. 3 Προελθὼν δὲ ἐπέκεινα, διά τε τοῦ ποταμοῦ τὴν πορείαν ποιούμενος, ἦλθεν εἴς τι χωρίον ᾧ πόλις ἐπλησίαζε Φισσηνία προσαγορευομένη· ταύτης τῷ τείχει

1 συνεχωρήθησαν Sylb. Mend. : -χώρησαν VΣ Bekk. || 27 εἶχεν ἅμα τοῖς Σ : εἶχε ἅμα τῆς V.

río para que las arrastrase y sumergiese. No fue banal la reputación que de esta hazaña se derivó para los romanos, al haber sido una gran ciudad —la mayor de Asiria después de Ctesifonte y tan guarnecida— tomada por la fuerza en sólo dos días. Ante lo cual el Emperador, lleno de complacencia hacia su ejército, lo honró con las palabras que convenían y obsequió a cada hombre con cien monedas de plata.

[**XIX**] Así fue como transcurrieron los acontecimientos; a su vez, el Surena, desde una de las ciudades de Asiria atacó con no pocos contingentes a las fuerzas del ejército romano enviadas por delante para explorar; y como éstas no previesen nada de lo que iba a ocurrir, acabó con uno de los tres comandantes que había y también con algunos de los soldados a las órdenes de aquél, consiguió poner en fuga a los demás y se apoderó de una enseña del ejército que portaba un dragón, de las que acostumbran a llevar los romanos en combate. [2] Cuando el Emperador tuvo conocimiento de ello no lo llevó con calma, sino que, lleno de furor, se lanzó tal como estaba sobre el Surena y las tropas que le acompañaban, poniendo en fuga a cuantas de éstas lograron escapar y recuperando la enseña arrebatada por el enemigo; seguidamente se dirigió de inmediato a la ciudad en que el Surena había emboscado sus tropas para caer sobre los exploradores, la tomó por la fuerza y la entregó a las llamas. En cuanto al comandante de los exploradores, por haber abandonado la enseña al enemigo anteponiendo su salvación al honor romano, lo despojó de sus insignias y en adelante lo tuvo, junto a quienes habían participado con él en la fuga, apartado de toda consideración [58] . [3] Continuó después el avance y, marchando a lo largo del río, llegó a cierto paraje próximo a una ciudad llamada Fisenia [59] . A las murallas de ésta

---

[58] Zósimo no dice nada del otro comandante que escapó con vida; según AMIANO , XXIV 3, 2, fue también degradado, y en cuanto a los soldados que participaron en la huida, diez de ellos ejecutados. [59] Mencionada sólo por Zósimo, Fisenia, cuya localización e identificación precisa ofrece dificultades, se encontraría a orillas del Naarmalca.

συμπαρέθεε τάφρος, ἣν βαθυτάτην οὖσαν ἐπλήρωσαν ὕδατος οἱ Πέρσαι, μέρος εἰς ταύτην οὐκ ὀλίγον τοῦ πλησιάζοντος μετοχετεύσαντες ποταμοῦ· βασιλέως ποταμὸς ἦν ὄνομα τούτῳ· ταύτην διαδραμόντες τὴν πόλιν (οὐδὲν γὰρ ἦν ἐκ ταύτης εὐλαβεῖσθαι πολέμιον) ὁδὸν διῄεσαν τέλματι χειροποιήτῳ διάβροχον· οἱ γὰρ Πέρσαι τήν| τε διώρυχα τῇ χώρᾳ καὶ τὸν ποταμὸν αὐτὸν ἐπαφέντες ἀδύνατον κατά γε τὴν αὐτῶν οἴησιν πεποιήκασι τῷ στρατῷ τὴν διάβασιν. 4 Ἀλλ' ὅμως τοῦ βασιλέως προθέοντος καὶ ὁ στρατὸς ἠκολούθει, βρέχων ἄχρι γονάτων τοὺς πόδας· αἰσχύνην γὰρ ἡγοῦντο μὴ ποιεῖν ἅπερ ἐθεῶντο ποιοῦντα τὸν βασιλέα· ἡλίου δὲ ἤδη δύντος ὁ μὲν στρατὸς ἐπὶ τῶν τόπων ηὐλίζετο τούτων, βασιλεὺς δὲ στρατιώτας ἑαυτῷ καὶ τεχνίτας ἀκολουθεῖν ἐπιτάξας, δένδρα ἐκτέμνων καὶ ξύλα διώρυχάς τε ἐζεύγνυε, τοῖς τέλμασί τε γῆν ἐπετίθει, καὶ τὰ βαθέα τῶν ὁδῶν ἀπεπλήρου, καὶ ταῖς στενοχωρίαις εὖρος ἐνεποίει τὸ μέτριον ἔχον· ἐπανελθών τε διῆγε τὴν στρατιὰν μετὰ ῥᾳστώνης, ἕως εἰς Βίθραν ἐληλύθει πόλιν, ἐν ᾗ βασίλεια ἦν καὶ οἰκήματα βασιλεῖ τε ὁμοῦ πρὸς ὑποδοχὴν ἀρκοῦντα καὶ στρατοπέδῳ.

XX. 1 Προελθὼν δὲ ἐντεῦθεν καὶ τῶν αὐτῶν ἐχόμενος πόνων ἡγεῖτο τοῦ πλήθους καὶ τὴν ὁδὸν εὐφορωτέραν ἐποίει· καὶ τούτῳ τῷ τρόπῳ διήνεγκεν ἅπαντας, ἕως ἦλθεν εἰς τόπον ἔχοντα μὲν οἴκησιν οὐδεμίαν, ἄλσος δὲ ἐκ φοινίκων πεποιημένον, ἐν ᾧ καὶ ἄμπελοι παραπεφύκεσαν ἄχρι τῆς τῶν φοινίκων κόμης τοῖς κλήμασιν ἀνατρέχουσαι, παρέχουσαί τε ὁρᾶν τὸν ἐκ τῶν φοινίκων

1 τάφρος Σ : τάφος V ‖ 4 διαδραμόντες VΣ : παραδρ- dubitanter Bekk.; at u. 3, 23, 1; 5, 6, 1 ‖ 16 ἐζεύγνυε Σ Leid. p. 30 : -γνοιε V^1 υ supra οι add. V^2 -γνυ Mend.; u. comm. ad 3, 7, 7 ‖ 17 ὁδῶν V : ἑλῶν Mend. (cf. 4, 42, 2), fortasse recte ‖ 23-24 εὐφορωτέραν V : εὐπο- dubitanter Herw. Mnem. 1888 p. 351.

corría paralelo un foso muy profundo que los persas habían colmado de agua, derivando hacia él una parte no pequeña del cercano río («río del rey» era su nombre [60]). Tras dejar atrás esta ciudad (pues no había que prever ningún tipo de agresión por parte de ella), marchaban a través de una ruta anegada por un pantano producido artificialmente. Los persas, en efecto, al soltar el canal y el río mismo en dirección a los campos, habían imposibilitado, al menos en su opinión, el paso del ejército. [4] No obstante, como el Emperador se lanzase a la cabeza, el ejército marchó asimismo en pos de él con las piernas hundidas hasta las rodillas: pues estimaban vergonzoso no hacer lo que veían que hacía el Emperador. Cuando el sol ya se ponía, el ejército acampó en estos parajes, mientras el Emperador, habiendo ordenado que le acompañasen soldados e ingenieros y tras cortar árboles y madera, se dedicó a tender puentes sobre los canales, a llenar los socavones de los caminos y a dar la debida anchura a los pasos estrechos. Después regresó y condujo con facilidad la expedición hasta llegar a la ciudad de Bitra [61] , en la que se encontraba una residencia real y había edificios suficientes para acoger a la vez al Emperador y al ejército.

[**XX**] Prosiguió desde aquí su avance, y entregándose a las mismas tareas hacía el camino más practicable al tiempo que conducía a la tropa. De esta manera, consiguió hacer pasar a todos hasta llegar a un lugar donde no había vivienda alguna, pero sí un bosque sagrado formado por palmeras; crecían también al lado de ellas vides que ascendían con sus sarmientos hasta las copas de las palmeras, con lo que podía verse el fruto de la palmera

---

[60] Se trata del canal de Naarmalca (cf. n. 54), nombre que significa justamente «río del rey»; los romanos lo habían atravesado antes de la toma de Bersabora (cf. 17, 2) y ahora continuaban la marcha en dirección al Tigris teniéndolo a su izquierda. [61] La localización de Bitra no puede precisarse con seguridad; relación de las hipótesis emitidas en F. PASCHOUD , ed. cit., III, n. 50.

καρπὸν ἀναμεμιγμένον τοῖς βότρυσιν· ἐν τούτῳ τὴν ἐπελθοῦσαν νύκτα διαγαγὼν ἐπὶ τὰ πρόσω τῇ ὑστεραίᾳ προῆγεν. 2 Ἐλθὼν δὲ πλησίον φρουρίου τινὸς πληγὴν καιρίαν δέχεσθαι ἐμέλλησε· τῶν γὰρ ἀπὸ τοῦ φρουρίου τις Πέρσης ἐπελθὼν τῇ τοῦ βασιλέως κεφαλῇ τὸ ξίφος ἐπήλασεν· ὃ δὲ προϊδόμενος ἐπέθηκε τὴν| ἀσπίδα τῇ κεφαλῇ, καὶ ταύτῃ τὴν πληγὴν ἀπεσείσατο. 3 Ἐκεῖνον μὲν οὖν οἱ στρατιῶται συμπεσόντες κατέσφαξαν, καὶ τοὺς σὺν αὐτῷ πάντας, εἰ μήπω γέ τινες διαδύντες συνέφυγον εἰς τὸ φρούριον· δυσανασχετῶν δὲ ὁ βασιλεὺς ἐπὶ τῷ τολμήματι τὸ φρούριον [τε] ἀνεσκόπει, καὶ ὅπου ἁλώσιμον εἴη περιιὼν ἐθεώρει. 4 Περὶ τοῦτο δὲ ἔχοντος αὐτοῦ, τοῖς ἐν τῷ ἄλσει τῶν φοινίκων ἐπιμείνασι στρατιώταις ὁ σουρήνας ἀπρόοπτος ἐπιφανεὶς τῶν τε ὑποζυγίων καὶ τῆς ἀποσκευῆς κρατήσειν ἤλπισε, καὶ ἅμα τὸν βασιλέα τοῦτο μαθόντα πάντως ἀποστήσειν τῆς τοῦ φρουρίου πολιορκίας· ἀλλ' ἐκεῖνος μὲν ἐν νῷ ταῦτα βαλόμενος ἀμφοτέρων διήμαρτεν, ὁ δὲ βασιλεὺς ἐν πολλῷ τὴν τοῦ φρουρίου καθαίρεσιν ἐποιεῖτο. 5 Πόλις τε γὰρ ἐπλησίαζεν αὐτῷ Βησουχὶς ὄνομα, πολυάνθρωπος, καὶ ἄλλα φρούρια πλεῖστα, ὧν συνέβαινε τοὺς οἰκήτορας ἀπολιπόντας τὰ σφέτερα ὡς οὐκ ἀρκοῦντα πρὸς σωτηρίαν εἰς τὸ παρὰ τοῦ βασιλέως πολιορκούμενον συνδραμεῖν, πλὴν τῶν εἰς Κτησιφῶντα διαφυγόντων ἢ κατὰ τὸ δασύτατον τοῦ ἄλσους ἀποκρυβέντων· ὁ μὲν οὖν βασιλεὺς ἐνίστατο τῇ πολιορκίᾳ κατὰ τὸ καρτερόν, οἱ δὲ ἀπολυθέντες ἐκ τῆς στρατιᾶς εἰς τὸ κατασκοπεῖν καὶ βοηθεῖν, εἴ πού τι φανείη πολέμιον, οὐκ ἀπεκρούσαντο μόνον τοὺς ἐπελθόντας αὐτοῖς, ἀλλὰ τοὺς μὲν ἀνελόντες τοὺς δὲ προτροπάδην διώξαντες ἐν ἀσφαλεῖ τῷ βασιλεῖ τὰ τῆς πολιορκίας ἐποίη-

6 ὃ Mend. : ἐν ᾧ VΣ ὁ Sylb. edd. || 11 ἀνεσκόπει Σ : τε ἀ. V || 27 καρτερόν Mend. : κρατερόν V.

mezclado con los racimos de uvas. Allí pasó aquella noche, y al día siguiente continuó la marcha. [2] Al acercarse a cierta fortaleza [62] estuvo a punto de ser mortalmente herido. Pues un persa de los que habían salido de la fortaleza dirigió su espada a la cabeza del Emperador. Pero éste, viendo lo que iba a pasar, puso el escudo ante su cabeza y esquivó así el golpe. [3] Fue aquél acuchillado por los soldados, que se lanzaron sobre él, y también lo fueron todos los que le acompañaban con excepción de alguno que logró escabullirse y hallar refugio en la fortaleza. Irritado por el atrevimiento, se puso el Emperador a observar la fortaleza y a examinar, yendo a lo largo de su perímetro, por dónde se la podría tomar. [4] Mientras estaba en ello, ante los soldados que habían permanecido en el bosque de las palmeras apareció de improviso el Surena; creyó que iba a apoderarse de las bestias de carga y de la impedimenta y a lograr simultáneamente que el Emperador, al conocer lo que ocurría, renunciase definitivamente a poner cerco a la fortaleza. Tales eran los propósitos que albergaba, pero erró en uno y en otro, y el Emperador, por su parte, puso mayor [5] empeño en la toma de la fortaleza. Había junto a ella, en efecto, una ciudad llamada Besuqui [63] de abundante población, así como gran cantidad de otras fortalezas, y resultaba que los habitantes de todas ellas (con excepción de los que escaparon a Ctesifonte o se ocultaban en lo más espeso del bosque) habían abandonado sus lugares de residencia, al no ofrecer estos garantías de seguridad, para congregarse en la plaza que el Emperador asediaba. El Emperador, pues, se aplicó con ahinco al asedio, mientras que el contingente del ejército destacado para misiones de exploración y cobertura [64], no sólo rechazando a los que atacaban, cuando se producía algún tipo de agresión, sino también acabando con unos y a otros persiguiéndolos tenazmente, permitió al Emperador seguridad en las operaciones de asedio.

---

[62] La *Mahozamalcha* de AMIANO , XXIV 4, 1, cuya identificación precisa resulta problemática (cf. J. FONTAINE , *Ammien* ..., cit., n. 370, y F. PASCHOUD , ed. cit., III, n. 52. [63] Besuqui es mencionada sólo por Zósimo; del mismo ZÓSIMO , III 21, 5, se deduce que distaba unos 17 Km. de Ctesifonte. [64] Posiblemente Zósimo se refiere al cuerpo de los *procursatores* , distinto del de los exploradores. Los *procursatores* se encargaban de misiones de reconocimiento y protegían el grueso del ejército durante la marcha (cf. J. FONTAINE , *Ammien* ..., cit., n. 54).

σαν· ἐπεὶ δὲ τῶν φευγόντων τινὲς καὶ ἐν τοῖς ὑπὸ τὸ ἄλσος ἕλεσιν ἦσαν, οὐδὲ τούτους οἱ ἐπὶ κατασκοπῇ καταλειφθέντες| ἀφῆκαν ἀθῴους, ἀλλὰ τοὺς μὲν ἔκτειναν τοὺς δὲ αἰχμαλώτους ἀπήγαγον.

XXI. 1 Οἱ δὲ ἐν τῷ φρουρίῳ πολιορκούμενοι βελῶν παντοίων ἀφέσει τοὺς ἐναντίους ἠμύνοντο, λίθων δὲ οὐκ ὄντων αὐτοῖς ἔνδον ἀσφάλτῳ βώλους πεπυρωμένους ἠκόντιζον· ἐτύγχανον δὲ τῶν πεμπομένων αἱ βολαὶ ῥᾳδίως οἷα καὶ ἐξ ὑπερδεξίου καὶ κατὰ πλῆθους πεμπόμεναι. 2 Ἀλλ' οὐδὲ οἱ τῶν Ῥωμαίων στρατιῶται, καὶ ταῦτα ταῖς ἐξ ὕψους βοηθείαις ἐλαττούμενοι, παρῆκαν εἶδος ἀνδρείας καὶ πολεμικῆς ἐπιστήμης· λίθοις γὰρ χειροπλήθεσιν ἔβαλλον, βέλεσί τε οὐκ ἐκ τόξων μόνον ἀφιεμένοις ἀλλὰ καὶ ἐκ μηχανημάτων, ἅπερ οὐκ ἐφ' ἑνὸς μόνον ἵστατο πηγνύμενα σώματος, ἀλλὰ καὶ δύο καὶ τρία καὶ πλείω διῄει. 3 Τοῦ δὲ φρουρίου κειμένου μὲν ἐπὶ λόφου, τείχεσι δὲ δύο καὶ πύργοις ἑκκαίδεκα μεγάλοις ὠχυρωμένου, πέριξ τε τάφρῳ περιειλημμένου βαθείᾳ, κατά τι μέρος ὕδωρ εἰσφερούσῃ τοῖς ἐν τῷ φρουρίῳ πρὸς πότον ἐπιτήδειον, χῶμα ἐπιχέειν ὁ βασιλεὺς τῇ τάφρῳ τοὺς στρατιώτας ἐκέλευσεν, ἕτερόν τε ἐπὶ τούτῳ πρὸς ὕψος ἀνιστάμενον ἐξισωθῆναι τῷ πύργῳ. 4 Κατὰ δὲ μέρος ἕτερον τὴν ὑπὸ τὰ τείχη γῆν ὀρύττειν ἐγνώκει, κατὰ τὸ μέσον τοῦ ἐνδοτέρου τείχους, διὰ τοῦ ὀρύγματος ἐπιθήσεσθαι τοῖς πολεμίοις πραγματευόμενος· τῶν δὲ πολεμίων τοὺς ἐγείροντας τὸ χῶμα βολαῖς συνεχέσιν εἰργόντων, τὴν

2 τούτους Σ : -τοις V ‖ 3 καταλειφθέντες V[1] edd. : -ληφθέντας V[2] Leunc. ‖ 7 ἀσφάλτῳ edd. : -τω V -του Herw. Mnem. 1888 p. 351 ‖ 8-9 τῶν πεμπομένων V : quae uerba e proximo πεμπόμεναι orta suspicans corr. sec. 3, 21, 4 πυρσῶν Mend. ‖ 10 οὐδὲ V : οὐδὲν Herw. Mnem. 1888 p. 351 ‖ 12 παρῆκαν Sylb. edd. : -κον V pars apographorum -εῖκον apographum unum.

Y como incluso en los pantanos situados bajo el bosque había refugiados, tampoco a éstos dejó en paz el destacamento de exploradores, sino que mataron a unos y llevaron prisioneros a otros.

[**XXI**] Los sitiados en la fortaleza se defendían de sus contrarios con lanzamiento de toda clase de proyectiles, y como dentro no tenían piedras, arrojaban pellas de tierra envueltas en fuego de asfalto. Al ser enviados desde posición favorable y contra una multitud, los disparos alcanzaban fácilmente su destino. [2] Pero tampoco los soldados romanos, aún desfavorecidos en razón de las ventajas derivadas de la altura, renunciaron a exhibir valor y conocimiento de la guerra. Lanzaban, en efecto, piedras todo lo grandes que abarca la mano y proyectiles que arrojaban no sólo con sus arcos, sino también con máquinas, y que no quedaban clavados en un sólo cuerpo, sino atravesaban dos o tres o más. [3] La fortaleza yacía en una colina, estaba guarnecida por dos murallas y dieciséis grandes torres y a su alrededor corría un profundo foso, que en uno de sus puntos llevaba a los de la fortaleza agua potable; mandó el Emperador a los soldados colmar el foso con un terraplén y erigir otro sobre éste hasta alcanzar la altura de la torre. [4] Había decidido horadar en otro punto una galería bajo las murallas, en dirección a la parte media de la muralla interior, planeando atacar al enemigo a través del pasadizo horadado. Como los enemigos obstaculizaban con una lluvia de proyectiles a los que amontonaban el terraplén,

μὲν ἐν τῷ προφανεῖ μάχην ὁ βασιλεὺς ἀνεδέξατο, πολυειδέσιν ἀμυντηρίοις κατὰ τῶν βαλλομένων εἴτε βελῶν εἴτε πυρσῶν χρώμενος, Νευΐττᾳ δὲ καὶ Δαγαλαΐφῳ τά τε ὀρύγματα| καὶ τὰς τῶν χωμάτων ἐγέρσεις ἐπέτρεψεν. 5 Βίκτορι δὲ παραδοὺς ὁπλίτας τε καὶ ἱππέας τὰ μέχρι Κτησιφῶντος αὐτῷ διερευνᾶσθαι προσέταξεν, ὥστε, εἴ πού τι φανείη πολέμιον ἀφελκύσαι τὸν βασιλέα τῆς πολιορκίας πειρώμενον, τούτου διὰ τῶν ὑπ' αὐτῷ τεταγμένων κωλυθῆναι τὴν ἐπιχείρησιν, ἅμα δὲ τὴν ὁδὸν τὴν ἐπὶ Κτησιφῶντα, σταδίων οὖσαν ἐνενήκοντα, γεφυρῶν τε κατασκευαῖς καὶ ζευγμάτων αὐτῷ καὶ τῷ στρατῷ ῥᾴονα καταστῆσαι.

XXII. 1 Ταύτῃ διελὼν τοῖς ἡγεμόσι τὴν ἐπιμέλειαν, αὐτὸς μὲν διὰ τῶν σὺν αὐτῷ κριὸν μιᾷ πύλῃ προσαγαγὼν οὐ κατέσεισε μόνον αὐτὴν ἀλλὰ καὶ ἔλυσε, τοὺς δὲ ἐπὶ τῶν ὀρυγμάτων τεταγμένους ἐκμελῶς ἰδὼν τῷ ἔργῳ χρωμένους ἐκείνους μὲν ἀπέστησε, ταύτην αὐτοῖς ὑπὲρ τῆς ἐκμελείας τὴν ἀτιμίαν ἐπαγαγών, ἑτέρους δὲ ἀντεκατέστησεν. 2 Αὐτὸς δὲ κριὸν ἕτερον ἄλλῃ προσέφερε πύλῃ· καὶ ταύτης δὲ τὴν προσβολὴν οὐκ ἐνεγκούσης, ἧκεν ἀγγέλλων τις ὡς οἱ ταχθέντες τὰ ἀπὸ τῆς τάφρου μέχρι τῆς πόλεως αὐτῆς διορύττειν ἤδη πρὸς τέλος ἀφίκοντο τοῦ ἔργου καὶ πρὸς τὸ ἀναδῦναι γεγόνασιν εὐτρεπεῖς· ἦσαν δὲ οὗτοι τρεῖς λόχοι, ματτιάριοι καὶ λακκιάριοι καὶ βίκτορες. 3 Ὁ βασιλεὺς δὲ ταύτην μὲν τέως ἐπέσχεν αὐτῶν τὴν ὁρμήν, πύλῃ δὲ ἑτέρᾳ θᾶττον ἐκέλευσεν εὐτρεπίζεσθαι μηχανήν, καὶ τὴν στρατιὰν αὐτῇ πᾶσαν ἐφίστη, πείθων τοὺς πολεμίους ὡς τῇ ὑστεραίᾳ ταύτην προσαγαγὼν ἐγκρα-

4 ὀρύγματα Mend. sec. 3, 22, 1 et Amm. 24, 4, 13 : χώματα VΣ ex sequente χωμάτων ortum || 13 ταύτῃ Mend. : -την VΣ || 21 ἀγγέλλων (secundo λ suprascripto) V edd. Bitsch. : ἀγγέλων Σ ἀγγελῶν Mend.; u. comm.

[99] El relato ofrecido por AMIANO , XXV 6, 11-8, 4, permite corregir y completar la versión del cruce del Tigris por las fuerzas romanas que brinda Zósimo. Dicho cruce se inicia en la noche del 5 al 6 de julio, cuando de 500 hombres escogidos consiguen pasar a la otra orilla y masacran las guarniciones persas allí apostadas; la fuerte crecida del río impide que el resto de las tropas pueda seguirles, perdiéndose en tentativas dos días. Entretanto, Sapor, considerando sus propias pérdidas, la desmoralización de su ejército y las reservas de que aún disponen los romanos, envía emisarios de paz. Las conversaciones se prolongan durante 4 días. Concluida la paz el 12 de julio, sólo entonces pasa a la otra orilla el grueso del ejército. Respecto al acoso persa en la orilla occidental del Tigris y una vez firmada la paz, AMIANO , XXV 8, 4, lo menciona sólo como plan que, al ser descubierto por los romanos, no se cumplió.

προσδεξαμένου λόγους, στείλαντός τε Σαλούστιον τὸν τῆς αὐλῆς ὕπαρχον καὶ Ἀρινθαῖον σὺν τούτῳ, λόγων περὶ τούτου γενομένων αὐτοῖς πρὸς ἀλλήλους ἐγίνοντο μὲν τριακοντούτεις σπονδαί, συνεδόκει δὲ Ῥωμαίους τοῦ τε Ζαβδικηνῶν ἔθνους ἐκστῆναι τοῖς Πέρσαις, ἔτι δὲ Καρδουηνῶν καὶ Ῥημηνῶν καὶ Ζαληνῶν τε πρὸς τούτοις καὶ ἐπὶ πᾶσιν τῶν περὶ αὐτὰ φρουρίων, ὄντων τὸν ἀριθμὸν πεντεκαίδεκα, μετὰ τῶν οἰκητόρων καὶ κτημάτων καὶ ζῴων καὶ πάσης ἀποσκευῆς, Νίσιβιν δὲ παραδοῦναι δίχα τῶν ἐνοικούντων· ἐδόκει γὰρ τούτους, ἔνθα ἂν δόξειε Ῥωμαίοις, μετοικισθῆναι. 2 Προσαφείλοντο δὲ καὶ Ἀρμενίας τὸ πολὺ μέρος οἱ Πέρσαι, βραχύ τι ταύτης Ῥωμαίοις ἔχειν ἐνδόντες· ἐπὶ τούτοις αἱ σπονδαὶ γεγονυῖαι καὶ γραμματίοις ἑκατέρωθεν ἐπισφραγισθεῖσαι δεδώκασι Ῥωμαίοις εὐρυχωρίαν τῆς οἴκαδε ἐπανόδου, κατὰ μηδὲν τὰ Περσῶν διαφθείρουσιν ὅρια, μήτε αὐτοῖς ὑπὸ Περσικῆς ἐπιβουλευομένοις ἐνέδρας.

XXXII. 1 Εἰς τοῦτο τῆς ἱστορίας ἀφιγμένῳ τὸ μέρος ἐπὶ τοὺς ἀνωτάτω μοι χρόνους ἐπῆλθεν ἀναδραμεῖν, καὶ ζητῆσαι, εἴ ποτε Ῥωμαῖοι τῶν αὐτοῖς τι κτηθέντων ἑτέροις ὑπέστησαν παραδοῦναι, ἢ ὅλως ἕτερον ἔχειν τι τῶν ὑπὸ τὴν ἐπικράτειαν αὐτῶν ἅπαξ γενομένων ἠνέσχοντο. 2 Λευκίου γὰρ Λουκούλλου Τιγράνην καθελόντος καὶ Μιθριδάτην, περιποιήσαντός τε πρώτου τῇ Ῥωμαίων ἀρχῇ τὰ μέχρις Ἀρμενίας τῆς ἐνδοτάτω καὶ Νίσιβιν ἐπὶ τούτοις καὶ τὰ πρόσοικα

Testimonia: u. p. 51.

5 Ζαβδικηνῶν Mend. : βαβδι- V ζαβαδι- Excerpta ‖ 6 καὶ Ζαληνῶν V: καρξαληνῶν Excerpta; u. comm. ‖ 7 πᾶσιν Excerpta : πᾶσι V ‖ 14 αἱ V : δὴ Excerpta ‖ 24 ἠνέσχοντο V (u. et 4, 37, 2; 5, 20, 2) : ἀν- Excerpta.

propuestas de paz y envió a Salustio [100] , el prefecto del pretorio, junto con Arinteo; después que éstos discutieran entre sí el asunto, se concluye un armisticio de treinta años, acordándose que los romanos hiciesen cesión a los persas de la provincia de Zabdicena, así como de las de Carduena y Remena, igulmente de la de Zalena [101] y, además de todo ello, de las plazas fuertes que había en estas regiones —cuyo número era de quince— con sus habitantes, sus bienes, sus animales y todos sus enseres, y que entregaran Nísibis sin su población: se acordó, efectivamente, que los romanos trasladasen ésta a donde les pareciera. [2] Los persas se apoderaron además de la mayor parte de Armenia, permitiendo a los romanos ocupar sólo una pequeña porción de ella. La paz, concluida en estos términos y rubricada por ambas partes, concedía a los romanos vía libre para, sin causar daño alguno a las tierras persas ni sufrir acechanza ninguna por parte persa, regresar a casa [102] .

[**XXXII**] Llegado a este punto de mi historia, di en remontarme a tiempos muy remotos para indagar si en alguna ocasión los romanos consintieron la cesión de cualquier cosa que hubieran adquirido, o si, en suma, sufrieron que otro ocupara alguna de las posesiones caídas en un momento anterior bajo su dominio. [2] Pues he aquí que cuando Licio Lúculo hubo acabado con Tigranes y Mitrídates y obtenido por primera vez para el Imperio Romano los territorios que van desde lo más profundo de Armenia y, además, Nísibis y las fortalezas vecinas a

---

[100] *Salutius* , véase n. 6. [101] En AMIANO , XXV 7, 9, *Arzanena* . [102] AMIANO , XXV 7, 9, habla de la cesión de cinco *regiones Transtigritanas* , añadiendo a las cuatro de Zósimo, Moxoena; se trata de territorios (que, frente a la terminología empleada por éste, nunca constituyeron cada uno separadamente una provincia romana) ribereños del tramo septentrional del Tigris por ambas orillas. Amiano, además, añade a Nísibis las ciudades de Singara y *Castra Maurorum* : todas ellas debían formar parte de las quince plazas mencionadas por Zósimo y Amiano, resultando su enumeración por separado de un error de ambos. Respecto a Armenia, los romanos se limitaron, según AMIANO , XXV 7, 12, a abandonar la alianza defensiva que mantenían con ella, lo cual brindó a los persas ocasión para ocupar buena parte de su territorio. En el momento de firma del tratado, los romanos no ocupaban la orilla oriental del Tigris, algunos de cuyos territorios, sin embargo, les pertenecían en virtud del tratado del 297 entre Galerio y Narses; posiblemente lo que Sapor pretendía era la revocación oficial de aquel tratado (véase la alusión al respecto de AMIANO , XXV 7, 9).

φρούρια ταύτῃ, Πομπήιος Μάγνος τοῖς τούτου| κατορθώμασι τέλος ἐπιτιθεὶς διὰ τῆς ὑπ' αὐτοῦ γενομένης εἰρήνης τὴν τούτων Ῥωμαίοις ἐβεβαίωσε κτῆσιν. 3 Ἐπεὶ δὲ Περσῶν αὖθις κινηθέντων ἐχειροτόνησεν ἡ γερουσία Κράσσον αὐτοκράτορα στρατηγόν, ὃ δὲ εἰς χεῖρας ἐλθὼν αἰσχρὰν ἄχρι τοῦδε Ῥωμαίοις κατέλιπε δόξαν, ἁλούς τε ἐν τῇ μάχῃ καὶ παρὰ Πέρσαις ἀποθανών, τότε παραλαβὼν τὴν στρατηγίαν Ἀντώνιος, καὶ τῷ Κλεοπάτρας ἐχόμενος ἔρωτι, τοῖς περὶ τὸν πόλεμον ἐκμελῶς καὶ ὀλιγώρως προσέσχε· καὶ ἀπήλλαξε μὲν κἀκεῖνος ἀνάξια πεπραχὼς τοῦ Ῥωμαίων ὀνόματος, Ῥωμαῖοι δὲ οὐδὲ τούτων αὐτοῖς τῶν ἐλαττωμάτων συμβάντων ἐκπεπτώκασι τούτων τῶν τόπων τινός. 4 Μεταστάντος δὲ αὐτοῖς εἰς μοναρχίαν τοῦ πολιτεύματος, καὶ τοῦ Σεβαστοῦ στήσαντος ὅρια τῇ Ῥωμαίων ἀρχῇ Τίγριν τε καὶ Εὐφράτην, οὐδὲ οὕτω τῆς χώρας ταύτης ἀπέστησαν· χρόνοις δὲ πολλοῖς ὕστερον Γορδιανοῦ τοῦ βασιλέως Πέρσαις ἐπιστρατεύσαντος καὶ ἐν μέσῃ τῇ πολεμίᾳ πεσόντος, οὐδὲ μετὰ ταύτην τὴν νίκην οἱ Πέρσαι παρεσπάσαντό τι τῶν ἤδη Ῥωμαίοις ὑπηκόων γεγενημένων, καὶ ταῦτα Φιλίππου διαδεξαμένου τὴν ἀρχὴν καὶ εἰρήνην αἰσχίστην πρὸς Πέρσας θεμένου. 5 Μετ' οὐ πολὺ δὲ τῇ ἑῴᾳ τοῦ Περσικοῦ πυρὸς ἐπιβρίσαντος, ἁλούσης δὲ κατὰ κράτος τῆς μεγάλης Ἀντιοχείας καὶ μέχρι τῶν Κιλικείων πυλῶν τοῦ Περσικοῦ στρατεύματος διαβάντος, Οὐαλεριανὸς αὐτοῖς ἐπιστρατεύσας ὁ βασιλεύς, καὶ ὑπὸ τὰς Περσῶν γενόμενος χεῖρας, οὐδὲ οὕτω Πέρσαις ἄ|δειαν δέδωκεν

Testimonia : u. p. 51.

2 ἐπιτιθεὶς V : ἐπιθεὶς Excerpta ‖ 6 Ῥωμαίοις κατέλιπε V : κατέλιπε πρὸς Ῥωμαίους Excerpta ‖ 24 ἐπιβρίσαντος Excerpta Bekk. Mend. : -βρησ- V -βρυσ- Σ ‖ 25 μέχρι τῶν Κιλικείων V : μέχρι Κιλικιῶν Excerpta.

ella, Pompeyo Magno, coronando los éxitos de éste, aseguró mediante la paz a él debida la posesión para Roma de dichos territorios. [3] Después que, mostrándose los persas hostiles de nuevo, el Senado votase a Craso comandante supremo y que éste, tras entrar en combate, legase hasta el día de hoy una afrentosa reputación a los romanos —dado que fue capturado en la batalla y murió a manos de los persas—, Antonio, que le sucedió en el mando, preso de su amor hacia Cleopatra dedicó a las cuestiones de la guerra escasa y negligente atención. También él cayó guardando en su haber hechos indignos del nombre de Roma, pero ni siquiera bajo el peso de tales reveses abandonaron los romanos ninguno de estos lugares. [4] Cuando la constitución de su estado cambió a monarquía y Augusto puso en el Tigris y el Éufrates la frontera del Imperio de Roma [103] , tampoco por ello se retiraron de estos territorios los romanos. En tiempos muy posteriores, el emperador Gordiano sucumbió en el interior de territorio enemigo durante una expedición contra los persas, pero ni aun tras esta victoria obtuvieron los persas comarca alguna de las ya sometidas a Roma, y ello después de que Filipo, que sucedió en el trono, firmase la más alevosa paz con los persas. [5] Tras no largo intervalo, la tea persa se abatió de nuevo sobre Oriente, fue tomada por la fuerza Antioquía la Grande y el ejército persa llegó hasta las puertas de Cilicia; entonces el emperador Valeriano marchó contra ellos y cayó en manos persas, pero tampoco bajo tales circunstancias dio a los persas licencia

[103] El Tigris no fue frontera romana ni bajo Augusto ni bajo sus sucesores, pues si Trajano conquistó amplios territorios en el Oriente, Adriano los evacuó para volver a fijar la frontera donde antes. Sólo en tiempos de Septimio Severo se instalaron de forma estable los romanos en la orilla oriental del Éufrates, creando la provincia de Mesopotamia.

ὑφ' ἑαυτοῖς τὰ χωρία ταῦτα ποιήσασθαι. 6 Μόνη δὲ ἡ Ἰουλιανοῦ τοῦ αὐτοκράτορος τελευτὴ πρὸς τὴν τούτων ἀπώλειαν ἤρκεσεν, ὥστε ἄχρι τοῦδε μηδὲν δυνηθῆναι τούτων τοὺς Ῥωμαίων βασιλέας ἀναλαβεῖν, ἀλλὰ καὶ προσαπολέσαι κατὰ βραχὺ τὰ πλείονα τῶν ἐθνῶν, τὰ μὲν αὐτόνομα γεγονότα, τὰ δὲ βαρβάροις ἐκδεδομένα, τὰ δὲ καὶ εἰς ἐρημίαν πολλὴν περιστάντα· ταῦτα μὲν οὖν τῆς συγγραφῆς προϊούσης ἐπὶ τῶν πραγμάτων δειχθήσεται.

XXXIII. 1 Τῆς δὲ πρὸς Πέρσας γενομένης εἰρήνης ὃν διεξήλθομεν τρόπον, Ἰοβιανὸς ὁ βασιλεὺς μετὰ ἀδείας ἐπανιὼν ἅμα τῷ στρατοπέδῳ καὶ πολλαῖς περιπεσὼν δυσχωρίαις καὶ τόποις ἀνύδροις, πολλούς τε τῆς στρατιᾶς ἀποβαλὼν ἐν τῇ διὰ τῆς πολεμίας παρόδῳ, Μαυρίκιον μὲν τῶν λοχαγῶν ἕνα τροφὴν ἐκ Νισίβιος ἀγαγεῖν ἐκέλευε τῷ στρατοπέδῳ, ἀπαντῆσαί ⟨τε⟩ μετὰ ταύτης ὡς ἂν οἷός τε ᾖ πορρωτάτω, κατὰ δὲ τὴν Ἰταλίαν ἄλλους ἐξέπεμπε, τὴν Ἰουλιανοῦ τελευτὴν καὶ τὴν ἀνάρρησιν τὴν οἰκείαν ἀπαγγελοῦντας. 2 Μόλις δὲ σὺν πολλῇ κακοπαθείᾳ τῇ Νισίβει πλησιάσας ἐπιστῆναι μὲν οὐκ ἤθελε τῇ πόλει τοῖς πολεμίοις ἐκδεδομένῃ, καταλύσας δὲ ἔν τινι πρὸ τῆς πύλης ὑπαίθρῳ τῇ ὑστεραίᾳ στεφάνους ἅμα καὶ ἱκεσίας ἐδέχετο, πάντων ὅσοι κατὰ τὴν πόλιν ἦσαν ἐκλιπαρούντων μὴ προέσθαι σφᾶς μηδὲ εἰς πεῖραν καταστῆσαι βαρβάρων ἠθῶν,

Testimonia : u. p. 51.

2 τοῦ αὐτοκράτορος om. Excerpta ‖ 7-11 ταῦτα — βασιλεὺς V : ὁ Ἰοβιανὸς δὲ ὁ βασιλεὺς Ῥωμαίων μετὰ τῆς πρὸς Πέρσας γενομένης εἰρήνης Excerpta ‖ 13 τε V : δὲ Excerpta ‖ 16 τε add. Mend. : δὲ add. Σ ‖ 18 Ἰουλιανοῦ Σ : ἰο//νοῦ, βια eraso, V.

para hacer suyas estas regiones. [6] Sólo el fin del emperador Juliano alcanzó a lograr su pérdida, de suerte que ninguna han podido recuperar, hasta hoy día, los em peradores romanos, sino que, por añadidura, perdieron poco a poco la mayoría de las provincias, unas porque se independizaron, otras porque fueron entregadas a los bárbaros, otras por quedar en gran medida yermas. Ello se mostrará sobre los hechos a medida que avance mi composición [104] .

[**XXXIII**] Una vez quedó establecida, en los términos que hemos visto, la paz con los persas, el emperador Joviano emprendió el regreso con su ejército a salvo de cualquier agresión; tras tropezar con gran cantidad de pasajes de difícil andadura y de lugares sin agua, tras sufrir, al atravesar la tierra enemiga, gran cantidad de bajas en sus tropas, ordenó a uno de sus oficiales, Mauricio, que sacase alimentos de Nísibis y con ellos saliese a su encuentro avanzando cuanto le fuese posible, y a otros los despachó a Italia para que anunciasen el fallecimiento de Juliano y su propia proclamación. [2] Cuando al fin, después de muchos padecimientos, se halló cerca de Nísibis, no quiso instalarse en una ciudad cedida al enemigo, sino acampó ante sus puertas, en un lugar al descubierto donde al día siguiente recibió coronas y súplicas con que los habitantes de la ciudad le movían a que no les abandonase ni les pusiese en trance de probar costumbres bárbaras,

---

[104] AMIANO , XXV 7, 10, subraya que al negociar el tratado Joviano antepuso su afianzamiento en el poder a los intereses del Estado, viéndose además incitado a ello por el rumor según el cual Procopio, a la cabeza de un ejército aún intacto, había sido designado secretamente por Juliano como sucesor. Los términos en que se firmó la paz, y especialmente el abandono de Nísibis, dieron lugar a una acalorada polémica, prolongada hasta muchos años después de los acontecimientos, en la que hubo posturas coincidentes con la de Amiano (así EUTROPIO , X 17, 3; FESTO , 29), pero también otras que intentaron atenuar la claudicación romana recurriendo a la apurada situación en que se vio el nuevo emperador (GREGORIO NACIANCENO , *Or. V* 15; OROSIO , VII 31, 1-2, SOZÓMENO , VI 3, 2): cf. R. TURCAN , «L’abandon...», cit.

τοσούτων ἐτῶν ἑκόντας τοῖς Ῥωμαίων νόμοις ἐντεθραμμένους. 3 Αἰσχρὸν δὲ καὶ ἄλλως εἶναι Κωνστάντιον μὲν τρεῖς Περσικοὺς πολέμους ἀναδεξάμενον| καὶ ἐν πᾶσιν ἐλαττωθέντα Νισίβιος ἀντιλαβέσθαι, καὶ πολιορκουμένην αὐτὴν καὶ εἰς ἔσχατον ἐλθοῦσαν κινδύνου διὰ πάσης περισῶσαι σπουδῆς, αὐτὸν δὲ μηδεμιᾶς τοιαύτης ἐπικειμένης ἀνάγκης τοῖς πολεμίοις τὴν πόλιν ἐκδοῦναι καὶ δεῖξαι Ῥωμαίοις ἡμέραν ἣν οὔπω τεθέανται, περιιδεῖν ἀναγκαζομένοις πόλιν τοσαύτην καὶ χώραν πολεμίοις ἐκδιδομένην. 4 Ἐπεὶ δὲ τούτων ὁ βασιλεὺς ἀκούων τὰ συντεθειμένα προΐσχετο, Σαβῖνος τοῦ βουλευτικοῦ προεστὼς καταλόγου προσετίθει τοῖς παρὰ τοῦ πλήθους εἰς ἱκεσίαν προσενεχθεῖσιν ὡς οὔτε δαπάνης εἰς τὴν πρὸς Πέρσας δεήσονται μάχην οὔτε ἐπικουρίας ἐπεισάκτου, δυνήσονται δὲ αὐτοὶ σώμασιν οἰκείοις καὶ δαπανήμασι τὸν ἐπαχθησόμενον αὐτοῖς ἀποκρούσασθαι πόλεμον, κρατήσαντές τε ἔσονται πάλιν ὑπήκοοι Ῥωμαίοις, τὰ προσταττόμενα πληροῦντες ὃν τρόπον καὶ πρότερον. 5 Τοῦ δὲ εἰπόντος οὐδὲν οἷόν τε τῶν συντεθειμένων παραβαθῆναι, πολλάκις οἱ ἀπὸ τῆς πόλεως ἐδεήθησαν ἱκετεύοντες μὴ στερηθῆναι τὴν Ῥωμαίων ἀρχὴν τοῦ προτειχίσματος.

XXXIV. 1 Ἐπεὶ δ' ἤνυον πλέον οὐδέν, ἀναχωρήσαντος σὺν ὀργῇ τοῦ βασιλέως καὶ Περσῶν παραλαβεῖν κατὰ τὰς σπονδὰς ἐθελόντων τά τε ἔθνη καὶ τὰ φρούρια καὶ τὴν πόλιν, οἱ μὲν τῶν ἐθνῶν καὶ τῶν φρουρίων οἰκήτορες, εἰ μὴ λάθρᾳ φυγεῖν ἠδυνήθησαν, ἐνέδοσαν τοῖς Πέρσαις πράττειν εἰς αὐτοὺς ὅ τι βού-

1 τοσούτων ἐτῶν ἑκόντας dubitanter Mend. : τοσαύτῃ ἑ. ἑκατοντάσ//ι, σ correcta, ο erasa V τ. ἑ. ἑκατοντάς Σ τοσαύτας ἑ. ἑκατοντάδας Sylb. Heyne Sintenis-Wäsch. (melius coniecissent τοσαύταις ἑ. ἑκατοντάσι sec. 4, 59, 2); u. comm.

después de que por tantos años se hubiesen criado voluntariamente en las leyes romanas. [3] Era además vergonzoso que Constancio, quien emprendió tres guerras contra los persas y en todas fue derrotado, no abandonara Nísibis, sino hubiese puesto todo su empeño en salvarla cuando se hallaba sitiada y corría el más grave peligro, y en cambio él, sin que fuerza alguna equiparable le obligara a ello, entregara la ciudad al enemigo e inaugurase para los romanos un día cual jamás habían contemplado, obligados a consentir la entrega al enemigo de ciudad y comarca de tal magnitud. [4] Como el Emperador, al oír todo aquello, alegase los acuerdos establecidos, Sabino, presidente del consejo de los curiales, añadió a las súplicas elevadas por el pueblo que para luchar contra los persas no habría necesidad de acudir a gastos ni ayudas del exterior, sino que ellos mismos, con sus efectivos y recursos propios, bastarían para hacer frente a la guerra que se les venía encima, y que, tras vencer, de nuevo se someterían a los romanos, cumpliendo de la misma manera que antes con sus obligaciones. [5] Al declarar el Emperador que no era posible infringir ningún punto de los acuerdos tomados, los de la ciudad pidieron, suplicando una y otra vez, que no fuera privado de este baluarte el Imperio Romano.

[**XXXIV**] Dado que no obtuvieron ninguna concesión ulterior y puesto que el Emperador se había retirado de mal talante y los persas querían, en conformidad con el tratado, tomar posesión de las provincias, las fortalezas y la ciudad, los habitantes de las provincias y las fortalezas que no pudieron huir en secreto se entregaron a los persas para que hiciesen de ellos lo que quisieran,

λοιντο, Νισιβηνοὶ δὲ ἀνακωχῆς εἰς τὸ μεταστῆναι τυχόντες, οἱ μὲν πολλοὶ καὶ σχεδὸν ἅπαντες εἰς τὴν Ἀμίδαν ἀπανέστησαν, ὀ|λίγοι δὲ ἑτέρας κατῴκησαν πόλεις. 2 Πάντα δὲ ἦν οἰμωγῆς καὶ θρήνων μεστά, πόλεως ἑκάστης ἐκκεῖσθαι ταῖς Περσῶν ἐφόδοις, Νισίβιος δοθείσης αὐτοῖς, οἰομένων· Καρρηνοῖς δὲ τοσοῦτον ἐγένετο πένθος τῆς Ἰουλιανοῦ τελευτῆς μηνυθείσης ὥστε τὸν ἀπαγγείλαντα καταλεῦσαι σωρόν τε λίθων μέγιστον ἐπ' αὐτὸν ἀνεγεῖραι· τοσαύτην ἴσχυσεν ἀνδρὸς ἑνὸς τελευτὴ τοῖς κοινοῖς πράγμασιν ἐμποιῆσαι μεταβολήν. 3 Ἰοβιανοῦ δὲ σπουδῇ τὰς πόλεις διαδραμόντος, οἷα δὴ πένθει καὶ στυγνότητι τῶν πόλεων ἐχομένων καὶ ἱλαρὸν οὐδὲν ἢ χάριεν ἐνδείξασθαι, καθάπερ ἦν ἔθος τοῖς αὐτόθι δήμοις, ὑφισταμένων, παρεγένοντο μὲν τῶν στρατιωτῶν ὅσοι τὴν δορυφορίαν εἶχον εἰς τὴν Ἀντιόχειαν ἅμα τῷ βασιλεῖ, εἵπετο δὲ καὶ ὁ στρατὸς ἅπας τῷ Ἰουλιανοῦ σώματι. 4 Καὶ τοῦτο μὲν εἰς Κιλικίαν ἀπενεχθὲν ἔν τινι Ταρσοῦ προαστείῳ βασιλικῇ ταφῇ παρεδίδοτο, καὶ ἐπίγραμμα προσεγράφετο τῷ τάφῳ τοιόνδε

Ἰουλιανὸς μετὰ Τίγριν ἀγάρροον ἐνθάδε κεῖται,
ἀμφότερον βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.

XXXV. 1 Ἐχόμενος δὲ τῆς τῶν ὅλων ἀρχῆς Ἰοβιανὸς ἄλλα τε διετίθει, καὶ τοῖς ἐν Παιονίᾳ στρατοπέδοις Λουκιλλιανόν, ὄντα κηδεστὴν αὐτῷ, καὶ Προ-

Testimonia : 21-22 Iuliani epigramma in Anthologia Graeca 7, 747 (falso Libanio adscriptum, u. comm.); u. 2 ex Hom. *Il.* 3, 179.

9 αὐτὸν V¹ : αὐτῷ V² Σ | 17 καὶ (post δὲ) delendum putauit Mend., fortasse recte.

mientras que la mayoría de los habitantes de Nísibis —e incluso prácticamente todos—, como obtuviesen una tregua para trasladarse, partieron hacia Amida [105] , siendo sólo unos pocos los que se establecieron en otras ciudades. [2] Todo rebosaba llanto y lamento, creyendo cada ciudad hallarse abierta al ataque de los persas una vez que Nísibis había sido entregada. A los ciudadanos de Carras el anuncio de la muerte de Juliano les produjo tal dolor que lapidaron al mensajero y amontonaron sobre él un enorme cúmulo de piedras: tan grande fue el trastorno que la muerte de un solo hombre alcanzó a infundir en la vida del Estado. [3] Atravesó Joviano apresuradamente las ciudades, dado que éstas, sumidas en el dolor y la tristeza, no se hallaban propensas a ofrecer, como era costumbre en las poblaciones de aquella parte, muestra alguna de alegría y de regocijo; así, cuanto del ejército pertenecía a la guardia imperial se presentó en Antioquía con el Emperador, al tiempo que el conjunto de las fuerzas seguía al cadáver de Juliano. [4] Fue éste llevado a Cilicia, donde recibió sepultura en una tumba imperial situada en las afueras de Tarso; sobre el sepulcro se grabó la siguiente inscripción:

Cruzó el Tigris de caudal impetuoso y aquí yace, Juliano ,
que fue tan virtuoso emperador como guerrero poderoso [106] .

[**XXXV**] Cuando se hizo con el poder supremo, Joviano resolvió, entre otras cosas, enviar a los campamentos de Panonia a Luciliano, que era su suegro, a Procopio y a

[105] La actual Diyarbakir (Turquía), a orillas del Tigris. [106] Posteriormente los restos de Juliano fueron trasladados a Constantinopla, donde quedaron depositados en la Iglesia de los Santos Apóstoles, junto a los de otros emperadores del siglo IV (sobre esto y otras circunstancias de su enterramiento véase J. ARCE , «La tumba...», cit.). ZONARAS , XIII 13, y CEDRENO , I, pág. 539 [Bonn], dan una versión diferente del epigrama que figuraba en su tumba: compuesto de cuatro versos, sólo el último coincide con el último del ofrecido por Zósimo.

κόπιον καὶ Οὐαλεντινιανόν, ὃς μετὰ ταῦτα γέγονε βασιλεύς, ἐξαπέστειλε, τήν τε Ἰουλιανοῦ τελευτὴν ἀπαγγελοῦντας, καὶ ὅτι περ εἴη μετ' αὐτὸν αὐτοκράτωρ προβεβλημένος. 2 Ἀλλ' οἱ ἐν τῷ Σιρμίῳ Βατάβοι, πρὸς φυλακὴν ἀπολελειμμένοι τῆς πόλεως, ἅμα τῇ ἀκοῇ τὸν μὲν Λουκιλλιανὸν ὡς τηλικούτων κακῶν ἄγγελον διεχρή|σαντο, ἐν οὐδενὶ τὸ πρὸς τὸν βασιλέα θέμενοι κῆδος, Προκόπιον δὲ τῆς πρὸς Ἰουλιανὸν συγγενείας αἰδοῖ διαφῆκαν ἀθῷον· Οὐαλεντινιανὸς δὲ διαδρὰς τὸν ἐξ ἐκείνων διέφυγε θάνατον. 3 Ἐξορμήσαντι δὲ τῆς Ἀντιοχείας Ἰοβιανῷ καὶ ἐχομένῳ τῆς ἐπὶ Κωνσταντινούπολιν ὁδοῦ νόσος αἰφνιδίως ἐνσκήψασα τῆς Βιθυνίας ἐν Δαδαστάνοις ἐπήγαγε τοῦ βίου τὸ τέλος αὐτῷ, μῆνας μὲν ὀκτὼ βασιλεύσαντι, διαθεῖναι δέ τι τῶν κοινῶν πραγμάτων ἐς δέον οὐ δυνηθέντι.

XXXVI. 1 Βουλῆς δὲ ὑπὲρ τοῦ τίνα δέοι προστῆναι τοῦ πολιτεύματος προτεθείσης, πολλοὶ μὲν καὶ περὶ πολλῶν ἐγίνοντο λόγοι τῷ στρατοπέδῳ καὶ τοῖς τὰς ἡγεμονίας ἔχουσι, πάντων δὲ ἡ ψῆφος εἰς ἕνα συνῄει Σαλούστιον ⟨τὸν⟩ τῆς αὐλῆς ὕπαρχον· τοῦ δὲ τὸ γῆρας προϊσχομένου καὶ διὰ τοῦτο φήσαντος οὐχ οἷός τε ἔσεσθαι πεπονηκόσιν ἀρκέσειν τοῖς πράγμασι, τὸν παῖδα γοῦν ᾔτησαν εἰς τὴν τῶν ὅλων ἀρχὴν ἐλθεῖν. 2 Τοῦ δὲ καὶ νέον εἶναι καὶ οὐδὲ ἄλλως ἐπιτήδειον πρὸς τοσαύτης ἀρχῆς ὄγκον εἰπόντος, τῆς τοῦ πάντων ἀμείνονος τῶν καθ' ἑαυτὸν ἀνδρὸς αἱρέσεως τότε διήμαρτον, ἤνεγκαν δὲ τὴν ψῆφον ἐπὶ Οὐαλεντινιανόν, ὃς ἐκ μὲν Κιβάλεως ὥρμητο (πόλις δὲ αὕτη Παιονική),

4 Βατάβοι Bekk. Mend. : βατάοι V (acc. sup. o expuncto) Σ || 13 ἐπήγαγε Sylb. : ἐπήγειρε VΣ edd. || 17 δέοι Bekk. Mend. : δέον VΣ || 21 τὸν addi malunt Bekk. Mend.

Valentiniano, que fue emperador después de él, para que les llevase noticia del fin de Juliano y de que había sido en él en quien, a la muerte de éste, recayera el nombramiento de augusto [107] . [2] Pero los batavos dejados en Sirmio como guarnición de la ciudad, tan pronto como se enteraron, dieron muerte a Luciliano por ser-portador de tan malas nuevas, sin consideración alguna a su condición de pariente por alianza del Emperador; a Procopio lo dejaron marchar sano y salvo en razón de su consaguineidad con Juliano, y Valentiniano logró escapar, evitando así la muerte a manos de aquéllos [108] . [3] Y cuando Joviano había partido de Antioquía y estaba camino de Constantinopla, cayó súbitamente sobre él una enfermedad que puso fin a su vida en Dadastanos de Bitinia; reinó ocho meses, sin poder llevar orden a ámbito alguno de la vida pública [109] .

[**XXXVI**] Planteada la cuestión de a quién debía colocarse a la cabeza del Estado, había en el ejército muchos propósitos y sobre muy diversos nombres, hasta que fue a confluir el voto de todos en un solo nombre, en Salustio, el prefecto del pretorio. Mas como éste objetara su avanzada edad y afirmara que en razón de ella no bastaría para enfrentarse a la quebrantada situación política, pidieron entonces a su hijo que asumiera el poder supremo. [2] Éste, sin embargo, alegó que era no sólo joven, sino además persona poco adecuada para la majestad de tan alto cargo [110] ; de tal manera perdieron la oportunidad de designar al hombre con más cualidades entre ellos y dirigieron sus votos a Valentiniano, quien procedía de Cíbalis (ciudad ésta de Panonia)

---

[107] Zósimo incurre aquí en considerables errores, corregibles mediante el relato paralelo de AMIANO , XXV 8, 8-12, y 10, 6-9 (consúltese también J. FONTAINE , *Ammien* ..., cit., nn. 665-67, 670-71, 712 y 716). Los dignatarios enviados por Joviano eran Procopio, secretario imperial no identificable —frente a lo que afirma Zósimo— con el Procopio militar bajo Juliano y luego usurpador, y Memórido; debían recabar de las tropas acuarteladas en Occidente apoyo para el nuevo emperador y fueron despachados cuando el ejército romano aún no había llegado a Nísibis. Procopio y Memórido debían, asimismo, entregar a Luciliano —suegro del Emperador, panonio como él y residente a la sazón en Sirmio— orden de personarse en Milán (capital de la prefectura de Italia, Milán era residencia de Mamertino, prefecto de Italia, África e Iliria y partidario incondicional de Juliano). [108] Joviano había ordenado la sustitución de Jovino —*magister equitum per Galias* (cf. A. DEMANDT , 1980, 582-83) y hombre de confianza de Juliano— por Malarico, pero éste rechazó el ofrecimiento. Cuando conoce el rechazo de Malarico, Luciliano, que había llegado ya a Milán acompañado de Valentiniano y Seniauco, corre hacia Reims (capital de la Bélgica Segunda y residencia usual del *magister equitum per Gallias* : la actitud de Malarico despierta la sospecha de que en la Galia del Norte se trama una insurreccion basada en el no reconocimiento del nuevo emperador); allí muere, junto con Seniauco, a resultas de la violenta sedición provocada por un oficial que, acusado de malversación y venalidad, intenta escapar denunciando ante las tropas una inexistente insurrección contra Juliano, del cual afirma que aún vive (es en Reims, no en Sirmio, donde debían hallarse las tropas batavas de que habla Zósimo; en Iliria, efectivamente, no había tropas batavas, cuyos cuarteles se situaban prioritariamente en territorio galo: cf. F. PASCHOUD , ed. cit., III, n. 103). Finalmente, llegan noticias de que Jovino reconoce a Joviano, y con ello la situación se normaliza (para la reconstrucción de estos sucesos véanse las fuentes citadas en n. anterior). [109] Dadastanos no puede localizarse con precisión (cf. J. FONTAINE , *Ammien* ..., cit., n. 724; F. PASCHOUD , ed. cit., III, n. 104). La muerte de Joviano (el 17 de febrero del 364: cf. EUTROPIO , X 18, 2; SÓCRATES , III 26) es atribuida por la mayoría de las fuentes a causas accidentales (intoxicación, indigestión o ambas causas combinadas: véase EUTROPIO , *ibid.; epit* . 44; OROSIO , VII 31, 3; SOZÓMENO , VI, 1, 1; FILOSTORGIO , VIII 8; ZONARAS , 13, 14; CEDRENO , pág. 540 [Bonn]); AMIANO , XXV 10, 12-13, consigna también esta noticia, pero al mismo tiempo insinúa la posibilidad de muerte violenta y consigna que las caucas del fallecimiento fueron oscuras, sin que jamás se realizara una investigación sobre el suceso; JUAN CRISÓSTOMO , *Hom. 4 in Phil* . [*PG* 62, pág. 295] habla de envenenamiento. [110] El ofrecimiento del trono a Salutius (véase n. 6) y a su hijo se encuentra también en ZONARAS , XIII 14, pero no en Amiano, según el cual (XXV 5, 3) fue tras la muerte de Juliano cuando se propuso a Salutius como sucesor (el pasaje no menciona al hijo de Salutius).

πολέμων δὲ μετασχὼν οὐκ ὀλίγων παιδεύσεως οὐδεμιᾶς μετεσχήκει. 3 Μετεπέμποντο δὲ αὐτὸν ὅμως οὐ παρόντα, καὶ ἡμερῶν οὐ πολλῶν ἐτρίβετο χρόνος ἐν ἀναρχίᾳ τοῦ πολιτεύματος ὄντος· ἐπεὶ δὲ κατέλαβε τὸ στρατόπεδον ἐν Νικαίᾳ πόλει τῆς Βιθυνίας, ἐ|κεῖσε παραλαβὼν τὴν βασιλείαν εἴχετο τῆς ἐπὶ τὸ πρόσω πορείας.

6 ἱστοριῶν Γ, alia linea ἱστοριῶν τὸ δ V (ipsius librarii manu), quae sunt subscriptio libri tertii et inscriptio libri quarti; postea rubricator δ in Γ correxit et in spatio uacuo ἹΣΤΟΡΙΑ ΤΡΙΤΗ addidit; u. uol. I p. XXII sq.

y, si bien había participado en bastantes guerras, no contaba en su haber con instrucción alguna. [3] Mandaron, no obstante, hacerlo venir, pues no estaba presente, transcurriendo un período de no pocos días durante los cuales el Estado se halló sin cabeza. Cuando se unió al ejército en Nicea, ciudad de Bitinia, tomó allí posesión del Imperio [111] y seguidamente continuó su marcha hacia adelante.

[111] El 26 de febrero del 364 *(Consul. Constant. chron I* , págs. 240, 364).

APÉNDICE A

LA EXPEDICIÓN PERSA DE JULIÁN SEGÚN MALALAS
= ¿MAGNO DE CARHES Y EUTIQUIANO DE CAPADOCIA?)

C. Müller había incluido en el volumen IV, págs. 4-6, de sus *Fragmenta Historicorum Graecorum* algunas páginas tomadas del libro 13 de la Cronografía de Malalas, que contenía, según él, fragmentos de Magno de Carras y Eutiquiano de Capadocia. F. Jacoby siguió su ejemplo e insertó a estos dos autores como números 225 y 226 en su colección de *Fragmente der Griechischen Historiker*. Además, desde Mendelssohn y Seeck, se afirmó categóricamente que Magno de Carras era una fuente común para Amiano y Zósimo (véase la nota 31, y especialmente la obra de Brok citada en esta nota, págs. 10 y ss.). Hoy en día, somos mucho más cautelosos con respecto al problema de las fuentes de la expedición persa de Juliano; Magnus ha perdido la distinción de ser la fuente de Amiano, y ya no creemos que podamos extraer definitivamente fragmentos de Magnus y Eutiquiano de Malalas (véase especialmente el artículo de Dillemann citado anteriormente, nota 31, pp. 122-125 y 149-151). El texto de Malalas, tal como lo reimprimieron Müller y Jacoby, sigue siendo interesante hoy en día más allá de simplemente dar testimonio de los excesos de la "Quellenforschung" (crítica de fuentes): después de Libanio, Amiano y Zósimo, constituye el relato más detallado de la expedición persa de Juliano. Como este texto ha sido citado varias veces en el comentario sobre Zósimo, como las colecciones de Müller y Jacoby rara vez se encuentran en bibliotecas privadas, y como este pasaje de Malalas nunca ha sido traducido a una lengua moderna, al menos que yo sepa, pensé que sería apropiado proporcionar a continuación el texto y la traducción al francés [español] de estas pocas páginas.

APÉNDICE A

El texto griego reproduce el aportado por L. Dindorf en 1831 en el *Corpus de Bonn*, con pequeñas correcciones estilísticas. La elaboración del texto presentó pocos problemas, y un aparato crítico resultó superfluo. La traducción no oculta la torpeza y las excentricidades del cronista bizantino. Dindorf incluyó algunas notas en su edición (págs. 601-603); también se puede encontrar un breve comentario en Jacoby (vol. II D, págs. 633-639). Me limitaré aquí a referirme a las notas del comentario sobre Zósimo, que abordan los principales problemas planteados por Malalas.

El texto se ha dividido en párrafos según Jacoby; la paginación de Dindorf y Jacoby se encuentra en el margen. En mi opinión, los elementos legendarios se entrelazan con la narrativa de Magnus desde el párrafo 8 y predominan en los párrafos 11-13. De igual modo, un elemento legendario aparece al final del párrafo 14 en la perícopa de Eutiquiano, mientras que el párrafo 15 no es más que una colección de invenciones posteriores. El camino que tomó Juliano después de Ctesifonte, según Malalas, es sumamente fantasioso.

APPENDICE A

1 Καὶ κατιὼν ὁ αὐτὸς βασιλεὺς Ἰουλιανὸς κατὰ P. 328 D
Σαββουραρσάκου, βασιλέως Περσῶν, κατέφθασεν ἐν
Ἱεραπόλει· καὶ πέμψας κατεσκεύασε πλοῖα ἐν Σαμοσά- P. 329 D
τοις, πόλει τῆς Εὐφρατησίας, τὰ μὲν διὰ ξύλων τὰ δὲ διὰ βυρσῶν, ὡς ὁ σοφώτατος Μάγνος ὁ χρονογράφος ὁ Καρηνός, ὁ συνὼν αὐτῷ Ἰουλιανῷ βασιλεῖ, συνεγράψατο. 2 Ἀπὸ δὲ Ἱεραπόλεως ἐξελθὼν ἦλθεν ἐν Κάραις τῇ πόλει· κἀκεῖθεν εὗρε δύο ὁδούς, μίαν ἀπάγουσαν εἰς τὴν Νίσιβιν πόλιν, οὖσάν ποτε Ῥωμαίων, καὶ ἄλλην ἐπὶ τὸ Ῥωμαϊκὸν κάστρον τὸ λεγόμενον Κιρκήσιον, κείμενον εἰς τὸ μέσον τῶν δύο ποταμῶν τοῦ Εὐφράτου καὶ τοῦ Ἀββορᾶ· ὅπερ ἔκτισε Διοκλητιανός, βασιλεὺς Ῥωμαίων· καὶ μερίσας τὸν στρατὸν ὁ αὐτὸς βασιλεὺς πέμπει ἐπὶ τὴν Νίσιβιν ὁπλίτας ἄνδρας μυρίους ἑξακισχιλίους μετὰ δύο ἐξάρχων Σεβαστιανοῦ καὶ Προκοπίου. 3 Καὶ κατέφθασεν ὁ αὐτὸς Ἰουλιανὸς τὸ Κιρκήσιον κάστρον· καὶ ἐάσας καὶ ἐν τῷ Κιρκησίῳ κάστρῳ ὅσους εὗρεν ἐγκαθέτους στρατιώτας ἑξακισχιλίους, προσθεὶς αὐτοῖς καὶ ἄλλους ὁπλίτας ἄνδρας τετρακισχιλίους μετὰ ἐξάρχων δύο Ἀκκαμέου καὶ Μαύρου. 4 Καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ παρῆλθε τὸν Ἀββορὰν ποταμὸν διὰ τῆς γεφύρας, τῶν πλοίων φθασάντων εἰς τὸν Εὐφράτην ποταμόν· ὥντινων πλοίων ὑπῆρχεν ὁ ἀριθμὸς χιλίων διακοσίων πεντήκοντα. 5 Καὶ συναθροίσας τὸν ἴδιον αὐτοῦ στρατόν, ἔχων μεθ' ἑαυτοῦ Ἀνατόλιον μάγιστρον καὶ Σαλούστιον ἔπαρχον πραιτωρίων καὶ τοὺς στρατηλάτας αὐτοῦ, ἀνελθὼν ἐν ὑψηλῷ βήματι δι' ἑαυτοῦ προσεφώνησε τῷ στρατῷ, ἐπαινῶν αὐτοὺς καὶ προτρεπόμενος προθύμως καὶ σωφρόνως ἀγωνίσασθαι κατὰ
Περσῶν· καὶ εὐθέως ἐμβαίνειν εἰς τὰ πλοῖα ἐπέτρεψεν, P. 330 D

APÉNDICE A

1 (p. 328, 20 D, p. 952, 6 J) Entonces el mismo emperador Juliano, marchando contra Saburasco, el rey persa, llegó a Hierápolis; entonces envió la orden de construir barcos en Samosata, una ciudad de Eufratesia, algunos de madera, otros de cuero, según el relato del muy sabio Magno, cronista de Carrhae, quien acompañó al mismo emperador Juliano.

2 (p. 329, 4 D, p. 952, 11 J) Tras salir de Hierápolis, llegó a la ciudad de Carrhae, y allí encontró dos caminos: uno conducía a la ciudad de Nisibis, que antaño perteneció a los romanos, y el otro a la fortaleza romana llamada Circesión, situada entre los ríos Éufrates y Aboras, y que había sido fundada por el emperador romano Diocleciano. Entonces el emperador Juliano dividió su ejército y envió seis mil legionarios hacia Nísibis con los comandantes Sebastián y Procopio. 3 (p. 329, 11 D, p. 952, 17 J) Luego el mismo Jubeno llegó a la fortaleza de Circesión; luego también dejó en la fortaleza de Circesión a los seis mil soldados que había encontrado guarnecidos allí y les añadió otros cuatro mil legionarios, con los comandantes Accameo y Mauro.

4 (p. 329, 15 D, p. 952, 21 J) Luego partió de allí y cruzó el Aboras por el puente, mientras los barcos llegaban al Éufrates; estos barcos sumaban mil doscientos cincuenta. [4]. 5 (p. 329, 18 D, p. 952, 23 J) Luego reunió a su ejército, llevando consigo al magistrado Anatole, Salustio, el prefecto del pretorio y sus generales, subió a una plataforma elevada y se dirigió al ejército en persona; los felicitó y los exhortó a luchar contra los persas con ardor y disciplina. Luego inmediatamente les dio la orden de ocupar sus lugares en los barcos, luego

εἰσελθὼν καὶ αὐτὸς ὁ βασιλεὺς εἰς τὸ εὐτρεπισθὲν αὐτῷ πλοῖον. 6 Καὶ προηγεῖσθαι αὐτῶν προσκουλκάτορας προσέταξεν ἄνδρας γενναίους ἐκ τοῦ ἀριθμοῦ τῶν λαγκιαρίων καὶ ματτιαρίων χιλίους πεντακοσίους, κελεύσας βαστάζεσθαι καὶ τὰ σίγνα αὐτοῦ καὶ τὸν κόμητα
P. 953 J Λουκιανόν, ἄνδρα πολεμικώτατον, εἶναι σὺν αὐτῷ· ὅστις καὶ πολλὰ κάστρα Περσικὰ παρὰ τὸν Εὐφράτην κείμενα καὶ ἐν μέσῳ τῶν ὑδάτων ἐν νήσοις ὄντα ἐπόρθησε καὶ τοὺς ἐν αὐτοῖς ὄντας Πέρσας ἀνεῖλε· Βίκτορα δὲ καὶ Δαγαλάϊφον κατέταξεν ὄπισθεν τῶν λοιπῶν πλοίων εἶναι καὶ φυλάττειν τὰ πλήθη. 7 Καὶ κατῆλθεν ὁ βασιλεὺς μετὰ τοῦ στρατοῦ παντὸς διὰ τῆς μεγάλης διώρυγος τοῦ Εὐφράτου τῆς μισγούσης τῷ Τίγρητι ποταμῷ· καὶ εἰσῆλθεν εἰς τὸν αὐτὸν Τίγρητα ποταμόν, ὅπου μίγνυνται οἱ δύο ποταμοὶ καὶ ἀποτελοῦσι λίμνην μεγάλην· καὶ παρέβαλεν εἰς τὰ Περσικὰ ἐν τῇ χώρᾳ τῶν λεγομένων Μαυζανιτῶν, πλησίον Κτησιφῶντος πόλεως, ἔνθα ὑπῆρχε τὸ Περσικὸν βασίλειον. 8 Καὶ ἐπικρατὴς γενόμενος Ἰουλιανὸς ὁ βασιλεὺς ἐσκήνωσεν ἐν τῇ πεδιάδι τῆς αὐτῆς πόλεως Κτησιφῶντος, βουλόμενος μετὰ τῆς ἰδίας συγκλήτου καὶ ἕως Βαβυλῶνος εἰσελθεῖν καὶ παραλαβεῖν τὰ ἐκεῖσε. 9 Ὁ δὲ βασιλεὺς Σαββουραρσάκιος ὑπονοήσας ὅτι διὰ τῆς Νισίβεως ἤρχετο ὁ βασιλεὺς Ῥωμαίων Ἰουλιανός, ὥρμησε κατ' αὐτοῦ μετὰ τοῦ πλήθους αὐτοῦ παντός· ἀπαγγελθέντος δὲ αὐτῷ ὅτι ὄπισθεν αὐτοῦ ἐστιν ὁ βασιλεὺς Ῥωμαίων Ἰουλιανὸς P. 331 D
παραλαβὼν τὰ Περσικὰ μέρη, καὶ ὅτι ἔμπροσθεν αὐτῷ ἀπαντῶσιν οἱ στρατηγοὶ τῶν Ῥωμαίων καὶ πλήθη πολλά, καὶ γνοὺς ὅτι ἐμεσάσθη, φεύγει ἐπὶ τὴν Περσαρμενίαν, δόλῳ πέμψας δύο συγκλητικοὺς αὐτοῦ καὶ αὐτοὺς κατὰ ἰδίαν βούλησιν ῥινοτομήσας πρὸς Ἰουλιανὸν τὸν βασιλέα Ῥωμαίων, ἵνα πλανήσωσιν αὐτόν, πρὸς τὸ μὴ καταδιω-

APÉNDICE A

El propio emperador se embarcó en el barco que le habían preparado. (p. 330, 2 D, p. 952, 29 J) Luego ordenó a mil quinientos hombres de élite de las unidades de Lanciarii y Mattiarii que los precedieran como exploradores, y también ordenó que se izaran sus estandartes y que el conde Luciano, un excelente guerrero, lo acompañara. Juliano arrasó un gran número de fortalezas persas cerca del Éufrates, situadas en islas en medio de las aguas, y masacró a los persas allí guarnecidos. Ordenó a Víctor y Dagalaif que permanecieran detrás del resto de los barcos y protegieran al grueso del ejército. 7 (p. 330, 10 D, p. 953, 4 J) Luego, el emperador descendió con todo el ejército por el gran canal del Éufrates que se une al Tigris; Luego entró en el propio Tigris, donde los dos ríos se unen y forman un vasto lago; luego avanzó hacia Persia, en la tierra de los llamados mauzanitas, cerca de la ciudad de Ctesifonte, donde se encontraba el palacio real persa.. 8 (p. 330, 16 D, p. 953, 9 J) Luego, tras obtener la victoria, el emperador Juliano acampó en la llanura donde se encontraba esta ciudad de Ctesifonte; deseaba avanzar con su asamblea de notables hasta Babilonia y apoderarse de esa región. 9 (p. 330, 20 D, p. 953, 13 J) Por su parte, el rey Sabbourarsacios, creyendo que el emperador romano Juliano partía vía Nisibis, emprendió una campaña contra él con todo su ejército; Cuando le informan que el emperador romano Juliano está detrás de él y se está apoderando del país persa, y que los generales romanos vienen a su encuentro con un gran ejército, se da cuenta de que ha sido sorprendido en un movimiento de pinza, huye hacia Persarmenia y, recurriendo a engaños, envía a dos de sus notables, cuyas narices ha cortado con su consentimiento, a Juliano, el emperador romano, para que lo engañen e impidan que Juliano lo alcance en su huida.

χθέντα αὐτὸν φθασθῆναι. 10 Οἱ δὲ ῥινοτομηθέντες Πέρσαι ἦλθον πρὸς τὸν βασιλέα Ῥωμαίων προδοῦναι, φησίν, θέλοντες τὸν βασιλέα Περσῶν, ὡς τιμωρησάμενον αὐτούς· ἀπατηθεὶς δὲ παρ' αὐτῶν ἐπομνυμένων ὁ αὐτὸς βασιλεὺς Ἰουλιανὸς ἠκολούθησεν αὐτοῖς μετὰ τοῦ ἰδίου στρατεύματος· καὶ ἀπήγαγον αὐτὸν εἰς τὴν ἔρημον καὶ ἄνυδρον ἐπὶ μίλια ρν', πλανήσαντες αὐτούς, τῇ εἰκάδι πέμπτῃ τοῦ δαισίου τοῦ καὶ ἰουνίου μηνός. 11 Καὶ εὑρὼν ἐκεῖ τείχη παλαιὰ πεπτωκότα πόλεως λεγομένης Βουβίων, καὶ ἄλλο δὲ χωρίον, ἑστώτων μὲν τῶν οἰκημάτων, ἔρημον δὲ ἦν, ὅπερ ἐλέγετο Ἀσία· ἔνθα ἐλθὼν ὁ βασιλεὺς Ἰουλιανὸς καὶ ὁ πᾶς στρατὸς τῶν Ῥωμαίων ἐκεῖ ἐσκήνωσεν· ἐν αὐτοῖς δὲ τοῖς τόποις γενόμενοι ἐλίποντο τροφῶν καὶ οὐδὲ τοῖς ἀλόγοις ὑπῆρχε βοτάνη· ἦν γὰρ ἐρημία· καὶ γνοὺς ὁ πᾶς στρατὸς Ῥωμαίων ὅτι ἀπατηθεὶς ὁ βασιλεὺς ἐπλάνησεν αὐτοὺς καὶ εἰς ἐρήμους ἤγαγε τόπους, εἰς πολλὴν ἀταξίαν ἐτράπησαν. 12 Τῇ δὲ ἑξῆς ἡμέρᾳ μηνὶ ἰουνίῳ κς', ἀγαγὼν τοὺς πλανήσαντας αὐτὸν Πέρσας ἐξήτασεν αὐτούς· καὶ ὡμολόγησαν λέγοντες ὅτι ὑπὲρ πατρίδος καὶ τοῦ βασιλέως ἡμῶν, ἵνα σωθῇ, ἐδώκαμεν ἡμᾶς ἑαυτοὺς εἰς θάνατον καὶ ἐπλανή- P. 332 D
P. 954 J σαμεν ὑμᾶς· ἰδοὺ οἱ δοῦλοί σου ἀπεθάνομεν· καὶ ἀπεδέξατο αὐτούς, μὴ φονεύσας αὐτούς, ἀλλὰ δοὺς λόγον αὐτοῖς, ἵνα ἐκβάλωσι τὸν στρατὸν ἐκ τῆς ἐρήμου χώρας. 13 Καὶ περὶ ὥραν δευτέραν τῆς αὐτῆς ἡμέρας ὁ βασιλεὺς Ἰουλιανὸς παριὼν τὸ στράτευμα καὶ δυσωπῶν αὐτοὺς μὴ ἀτάκτως φέρεσθαι ἐτρώθη ἀδήλως· καὶ εἰσελθὼν εἰς τὸν ἴδιον παπυλεῶνα διὰ τῆς νυκτὸς τελευτᾷ, ὡς ὁ προγεγραμμένος Μάγνος ἐξέθετο. 14 Εὐτυχιανὸς δὲ

APÉNDICE A

10 (pág. 331, 7 D, pág. 953, 21 J) Los persas, con sus narices cortadas, acudieron al emperador romano; pretendían, según afirmaban, traicionar al rey persa porque los había castigado. Engañados por estos hombres que se comprometieron con juramentos, el mismo emperador Juliano los siguió con su ejército; luego lo desviaron a una región desértica y sin agua a lo largo de ciento cincuenta millas y los extraviaron el vigésimo quinto día del mes de Daisios, o de junio. 11 (pág. 331, 13 J), pág. 953, 26 J) Entonces encontraron allí las antiguas murallas, en ruinas, de una ciudad llamada Houbios, y otro lugar, donde las casas estaban en buen estado, pero que estaba desierto, llamado Asia; el emperador Juliano fue a este lugar con todo el ejército romano y acampó allí. Al llegar a estas tierras, carecían de alimento, e incluso para los animales no había pasto; era, en efecto, el desierto. Entonces, todo el ejército romano se dio cuenta de que el emperador, engañado, los había extraviado y los había llevado a una zona desértica, sumiéndose en un gran desorden. 12 (p. 331, 21 D, p. 953, 33 J) Al día siguiente, 26 de junio, Juliano convocó a los persas que lo habían extraviado y los interrogó. Confesaron y dijeron: «Por nuestra patria y nuestro rey, para que se salvara, sacrificamos nuestras vidas y los extraviamos; he aquí, somos sus esclavos que hemos caminado hacia la muerte». Entonces Juliano aceptó su confesión y no los mandó ejecutar, sino que les prometió la vida con la condición de que lideraran al ejército fuera de la región desértica. 13 (p. 332, 5 D, p. 954, 2 J). Luego, alrededor de la segunda hora de ese mismo día, el emperador Juliano, mientras inspeccionaba el ejército y pedía a los soldados que no se comportaran de manera indisciplinada, fue herido, desconociéndose el origen de la herida, luego se retiró a su tienda y murió durante la noche, como explicó el Magnus mencionado anteriormente. 14 (p. 332,

ὁ χρονογράφος ὁ Καππάδοξ, στρατιώτης ὢν καὶ βικάριος τοῦ ἰδίου ἀριθμοῦ τῶν Πριμοαρμενιακῶν, παρὼν καὶ αὐτὸς ἐν τῷ πολέμῳ, συνεγράψατο ὅτι κατελθὼν ὁ αὐτὸς βασιλεὺς Ἰουλιανὸς μονὰς ιε′ ἐπὶ τὰ Περσικὰ μέρη διὰ τοῦ Εὐφράτου εἰσῆλθε καὶ ἐπικρατὴς γενόμενος καὶ νικήσας πάντας παρέλαβεν ἕως πόλεως λεγομένης Κτησιφῶντος, ἔνθα ὁ βασιλεὺς Περσῶν ἐκάθητο, ἐκείνου φυγόντος ἐπὶ τὰ μέρη τῶν Περσαρμενίων, καὶ βουλομένου μετὰ τῆς ἰδίας συγκλήτου καὶ τοῦ στρατοῦ αὐτοῦ ἄχρι τῆς Βαβυλῶνος τῇ ἑξῆς ὁρμῆσαι καὶ ταύτην παραλαβεῖν διὰ τῆς νυκτός. 15 Καὶ ὡς καθεύδει, εἶδεν ἐν ὁράματί τινα τέλειον ἄνδρα ἐνδεδυμένον ζάβαν καὶ εἰσελθόντα πρὸς αὐτὸν εἰς τὸν παπυλεῶνα αὐτοῦ πλησίον τῆς πόλεως Κτησιφῶντος ἐν πόλει λεγομένῃ Ἀσίᾳ καὶ κρούσαντα αὐτὸν λόγχῃ· καὶ πτοηθεὶς ἐξυπνίσθη κράξας· καὶ ἐξανέστησαν οἱ κουβικουλάριοι εὐνοῦχοι καὶ σπαθάριοι καὶ ὁ στρατὸς ὁ φυλάττων τὸν παπυλεῶνα, καὶ εἰσελθόντες πρὸς αὐτὸν μετὰ λαμπάδων βασιλικῶν· καὶ προσεσχηκὼς Ἰουλιανὸς ὁ βασιλεὺς ἑαυτὸν σφαγέντα P. 333 D
κατὰ τῆς μασχάλης ἐπηρώτησεν αὐτούς, Πῶς λέγεται ἡ κώμη ὅπου ἐστὶν ὁ παπυλεών μου; καὶ εἶπον αὐτῷ ὅτι Ἀσία λέγεται· καὶ εὐθέως ἔκραξεν, Ὦ Ἥλιε, ἀπώλεσας Ἰουλιανόν· καὶ ἐκχυθεὶς τὸ αἷμα παρέδωκε τὴν ψυχὴν ὥραν νυκτερινὴν πέμπτην ἔτους κατὰ Ἀντιόχειαν τὴν μεγάλην χρηματίζοντος υια′.

APÉNDICE A

9 I), p. 954, 11 J) En cuanto a Eutiquiano, el cronista de Capadocia, quien era soldado y vicario de su unidad de los primoarmenios, y quien también participó en esta campaña, escribió que el mismo emperador Juliano descendió y penetró una distancia de quince etapas en el territorio persa a lo largo del Éufrates, que salió victorioso y prevaleció, y que se apoderó de todas las ciudades hasta la llamada Ctesifonte, que era la residencia del rey persa, quien huyó hacia el país de Persarmenia; Juliano deseaba avanzar al día siguiente con su asamblea de notables y su ejército hacia Babilonia y tomarla de noche 14. 15 (p. 332, 18 D, p. 954, 20 J). Y mientras dormía, vio en sueños a un hombre en la flor de la vida, vestido con una coraza, que entró en su tienda, situada cerca de la ciudad de Ctesifonte, en una ciudad llamada Asia, y lo hirió con su lanza. Aterrorizado, despertó con un grito terrible. Los chambelanes, eunucos, guardaespaldas y soldados que custodiaban la tienda se levantaron y entraron a su encuentro con lámparas reales. Entonces el emperador Juliano notó que había recibido una herida mortal en la axila y les preguntó: «¿Cómo se llama el pueblo donde está mi tienda?». Y respondieron que se llamaba Asia; e inmediatamente gritó: «¡Oh, Sol, has causado la muerte de Juliano!». Luego, habiendo perdido su sangre, exhaló su último suspiro a la quinta hora de la noche, en el año 411 de la era de Antioquía la Grande.

ÍNDICE

COMPENDIORVM CONSPECTUM	1
LIBRO III	2
Resumen	3
Texto griego-español	8
APÉNDICE A	59
ÍNDICE	65


1. ITALIE DU NORD ET HAUT DANUBE
Rhenus Fl.
Argentoratum
Augusta Raurica
Vindonissa
Brigantium
Augusta
VINDELICIA
Licca Fl.
Isara Fl.
RAETIA
Alpes Raeticae
NORICVM
Murus Fl.
Drauus Fl.
Danuuius Fl.
Carnuntum
PANNONIA
SUPERIOR
INFERIOR
VALERIA
Aquincum
Campona
Poetouio
Celeia
Atrans
Emona
Alpes Iuliae
VENETIA ET ISTRIA
Aquileia
Concordia
Altinum
Verona
Mediolanum
Ticinum
Cremona
Padus Fl.
Pola
SAVIA
Siscia
Sauus Fl.
Mursa
Cibalis
PANN. INF.
Sirmium
Singidunum
ILLYRICVM
DALMATIA
MOESIA I
PRAEVALITANA
LIGURIA
Genua
Albingaunum
AEMILIA
Bononia
Rauenna
Ariminum
Apenninus Mons
Pisae
ETRVRIA
(=TUSCIA)
FLAMINIA
PICENVM
Tiberis Fl.
Spoletium
SABINI
Tres Tabernae
Interamna
Narnia
Roma
ALBANI
LATINI
Tres Tabernae
Corsica
SCALA
100 km
100 milia passuum
1000 stadia


2. BAS DANUBE ET DÉTROITS
SCALA
100 km
100 milia passuum
1000 stadia
GOTHI
VEL
SCYTHAE
Tyras Fl.
Chersone Tauricus
Danuuius Fl.
Sauus Fl.
Sirmium
Singidunum
SCYTHIA
Istrus
Tomi
PONTVS
EVXINVS
MOESIA I
PRAEVALITANA
DARDANIA
Naissus
DACIA RIP.
Oescus
Anasamus
Nouae
MOESIA II
Marcianopolis
Asamus Fl.
Serdica
DACIA MEDIT.
HAEMVS MONS
Anchialus
Beroe
Philippopolis
Hebrus Fl.
Tonzus Fl.
Hadrianopolis
THRACIA
RHODOPE MONS
Nestus Fl.
RHODOPE PRO.
Philippi
Topirus
Epidamnus (Dyrrhachium)
TAVLANTII
PELAGONIA
MACEDONIA
Thessalonica
Cassandria
EPIRVS
Samothrace
ATHOS MONS
Lemnos
Imbros
Elaeus
Hellespontus
Philea tina Palus
Bosporus Thracius
Promontorium Sacrum
Constantinopolis (=Byzantion)
Chrysopolis
Heraclea (=Perinthus)
Chalcedon
Nicomedia
PROPONTIS
BITHYNIA
Proconnesus I.
Cius
Nicaea
Parium
Lampsacus
Cyzicus
Abydos
Alanteus Portus
Troia
MYSIA
Prusa
Dadastana


3. ANTIOCHE
MARE SYRIACVM
Lacus
Antiochenus
Gindarus
Gephyra
Immae
Antiochia
Daphne
Seleucia
Apamea
Orontes Fl.
Beroe
Scala
0
20 km


4. CONSTANTINOPLE
Scala
0
1 km
CORNV
SYCAE
BOSPHORVS
Murus Theodosii II
Murus Constantini
Murus Seueri
NEORION
FORVM CONSTANTINI
TETRASTOON
HIPPODROMVS
PALATIUM
CHRYSOPOLIS
PROPONTIS